Τῶν αὐτῶν ὄντων ἐὰν τὸ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων ᾖ, καὶ τὰ λοιπὰ τὰ αὐτὰ ὑπάρχῃ, ἡ διὰ τῶν διαιρέσεων ἀγομένη παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ, ἐφ' ἧς ἐστι τὸ σημεῖον, καὶ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ σημεῖον ἀγομένη ἐφάψεται τῆς τομῆς.

ἔστω γὰρ ὑπερβολὴ καὶ ἀσύμπτωτοι, καὶ εἰλήφθω ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τὸ Δ, καὶ διήχθωσαν αἱ εὐθεῖαι καὶ διῃρήσθωσαν, ὡς εἴρηται, καὶ ἤχθω ἀπὸ τοῦ Δ ἐφαπτομένη τῆς τομῆς ἡ ΔΒ. λέγω, ὅτι ἡ

---

2. *τε*] om. c; *τῇ τε* Halley. 4. *δή*] *δέ* Vp; corr. Halley. 6. *ἡ*] cpv, euan. V. 11. *ΖΔ*] *ΕΔ* V, *ΞΔ* p; corr. Memus. 12. *ΖΛ*] p, *ΕΛ* V. *ΛΗ*] p, *ΔΗ* V. 24. *διηρήσθωσαν*] p, *διηρήσθω* V.

EZ et cum sectione opposita concurrere, et rectas a punctis concursus ad Δ ductas sectiones contingere.



opposita igitur sit M, et a Δ sectiones contingentes ducantur ΔM, $\Delta\Sigma$, ductaque $M\Sigma$, si fieri potest, per K, Λ ne cadat, sed aut per alterutrum aut per neutrum eorum.

prius per K cadat et rectam ZH in X secet. itaque [III, 37] $Z\Delta : \Delta H = XZ : XH$; quod absurdum est; supposuimus enim, esse

$$Z\Delta : \Delta H = Z\Lambda : \Lambda H.$$

sin per neutrum punctorum K, Λ cadit $M\Sigma$, in utraque $E\Delta$, ΔZ absurdum euenit.

XIII.

Iisdem positis si punctum Δ in alterutra asymptotarum positum est, et reliqua eadem supponuntur, recta per puncta diuisionis ducta parallela erit asymptotae, in qua punctum positum est, et producta cum sectione concurret, et recta a puncto concursus ad punctum ducta sectionem continget.

sit enim hyperbola asymptotaeque, et in alterutra asymptotarum sumatur Δ, producanturque rectae et diuidantur, sicut dictum est, a Δ autem sectionem ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀγομένη ἥξει διὰ τῶν Κ, Λ.

εἰ γαρ μή, ἤτοι διὰ τοῦ ἑνὸς αὐτῶν ἐλεύσεται ἢ δι' οὐδετέρου.

ἐρχέσθω διὰ μόνου τοῦ Κ. ἔστιν ἄρα, ὡς ἡ ΖΔ προς ΔΗ, ἡ ΖΧ πρὸς ΧΗ· ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀγομένη διὰ μόνου τοῦ Κ ἐλεύσεται· δι' ἀμφοτέρων ἄρα.

ιδ'.

Τῶν αὐτῶν ὄντων ἐὰν τὸ Δ σημεῖον ἐπὶ μιᾶς ᾖ τῶν ἀσυμπτώτων, καὶ ἡ μὲν ΔΕ τέμνῃ τὴν τομὴν κατὰ δύο σημεῖα, ἡ δὲ ΔΗ κατὰ μόνον τὸ Η παράλληλος οὖσα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, καὶ γένηται, ὡς ἡ ΔΕ πρὸς ΔΘ, ἡ ΕΚ πρὸς ΚΘ, τῇ δὲ ΔΗ ἴση ἐπ' εὐθείας τεθῇ ἡ ΗΛ, ἡ διὰ τῶν Κ, Λ σημείων ἀγομένη παράλληλός τε ἔσται τῇ ἀσυμπτώτῳ καὶ συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.



ὁμοίως γὰρ τῷ προειρημένῳ ἀγαγὼν τὴν ΔΒ ἐφαπτομένην λέγω, ὅτι ἡ ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀσύμπτωτον ἀγομένη ἥξει διὰ τῶν Κ, Λ σημείων.

εἰ οὖν διὰ τοῦ Κ μόνου ἥξει, οὐκ ἔσται ἡ ΔΗ τῇ ΗΛ ἴση· ὅπερ ἄτοπον. εἰ δὲ διὰ τοῦ Λ μόνου, οὐκ ἔσται, ὡς ἡ ΕΔ πρὸς ΔΘ, ἡ ΕΚ πρὸς ΚΘ. εἰ

6. πρὸς ΧΗ] p, om. V. 7. Κ] Β Vp; corr. Halley.

contingens ducatur ΔB. dico, rectam a B rectae ΠO parallelam ductam per K, Λ cadere.



nam si minus, aut per alterutrum eorum cadet aut per neutrum. cadat per K solum. itaque [III, 35] $Z\Delta : \Delta H = ZX : XH$; quod absurdum est. ergo recta a B rectae ΠO parallela ducta per K solum non cadet. ergo per utrumque cadet.

XIV.

Iisdem positis, si punctum Δ in alterutra asymptotarum positum est, et ΔE sectionem in duobus punctis secat, ΔH autem alteri asymptotarum parallela in H solo, et fit $EK : K\Theta = \Delta E : \Delta\Theta$, poniturque in ΔH producta $H\Lambda = \Delta H$, recta per K, Λ puncta ducta et asymptotae parallela erit et cum sectione concurret, rectaque a puncto concursus ad Δ ducta sectionem continget.

nam eodem modo, quo in praecedenti, ducta ΔB contingenti dico, rectam a B asymptotae ΠO parallelam ductam per puncta K, Λ cadere.

si igitur per K solum cadit, non erit $\Delta H = H\Lambda$ [III, 34]; quod absurdum est. sin per Λ solum cadit, non erit $E\Delta : \Delta\Theta = EK : K\Theta$ [III, 35]. sin neque per K neque per Λ cadit, utrobique absurdum eueniet. ergo per utrumque cadet.

δὲ μήτε διὰ τοῦ K μήτε διὰ τοῦ Λ, κατ' ἀμφότερα συμβήσεται τὸ ἄτοπον. δι' ἀμφοτέρων ἄρα ἐλεύσεται.

ιε'.

Ἐὰν ἐν ἀντικειμέναις ληφθῇ τι σημεῖον μεταξὺ τῶν δύο τομῶν, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ἐφάπτηται μιᾶς τῶν ἀντικειμένων, ἡ δὲ τέμνῃ ἑκατέραν τῶν ἀντικειμένων, καὶ ὡς ἔχει ἡ μεταξὺ τῆς ἑτέρας τομῆς, ἧς οὐκ ἐφάπτεται ἡ εὐθεῖα, καὶ τοῦ σημείου πρὸς τὴν μεταξὺ τοῦ σημείου καὶ τῆς ἑτέρας τομῆς, οὕτως ἔχῃ μείζων τις εὐθεῖα τῆς μεταξὺ τῶν τομῶν πρὸς τὴν ὑπεροχὴν αὐτῆς κειμένην ἐπ' εὐθείας τε καὶ πρὸς τῷ αὐτῷ πέρατι τῇ ὁμολόγῳ, ἡ ἀπὸ τοῦ πέρατος τῆς μείζονος εὐθείας ἐπὶ τὴν ἀφὴν ἀγομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ ληφθὲν σημεῖον ἀγομένη ἐφάπτεται τῆς τομῆς.

ἔστωσαν ἀντικείμεναι αἱ A, B, καὶ εἰλήφθω τι σημεῖον μεταξὺ τῶν τομῶν τὸ Δ ἐντὸς τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ΔZ διήχθω ἐφαπτομένη, ἡ δὲ $A\Delta B$ τέμνουσα τὰς τομάς, καὶ ὃν ἔχει λόγον ἡ $A\Delta$ πρὸς ΔB, ἐχέτω ἡ $A\Gamma$ πρὸς ΓB. δεικτέον, ὅτι ἡ ἀπὸ τοῦ Z ἐπὶ τὸ Γ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἀγομένη ἐφάψεται τῆς τομῆς.

ἐπεὶ γὰρ τὸ Δ σημεῖον ἐντός ἐστι τῆς περιεχούσης τὴν τομὴν γωνίας, δυνατόν ἐστι καὶ ἑτέραν ἐφαπτομένην ἀγαγεῖν ἀπὸ τοῦ Δ. ἤχθω ἡ ΔE, καὶ ἐπιζευχθεῖσα ἡ ZE ἐρχέσθω, εἰ δυνατόν, μὴ διὰ τοῦ Γ,

9. ἔχει Vp; corr. Halley. 15. ἐφάψεται p. 19. $A\Delta B$] p, $AB\Delta$ V.

XV.

Si in sectionibus oppositis punctum aliquod inter duas sectiones sumitur, et ab eo altera recta alterutram oppositarum contingit, altera utramque sectionem secat, et ut est recta inter alteram sectionem, quam non contingit recta illa, et punctum posita ad rectam inter punctum alteramque sectionem positam, ita est recta aliqua maior recta inter sectiones posita ad excessum in ea producta et ad eundem terminum positum ac partem correspondentem, recta a termino maioris rectae ad punctum contactus ducta cum sectione concurret, et recta a puncto concursus ad sumptum punctum ducta sectionem contingit.



sint oppositae A, B, sumaturque inter sectiones punctum aliquod Δ intra angulum ab asymptotis comprehensum positum, et ab eo ΔZ producatur contingens, $A\Delta B$ autem sectiones secans, sitque $A\Gamma : \Gamma B = A\Delta : \Delta B$. demonstrandum, rectam a Z ad Γ ductam productam cum sectione concurrere, et rectam a puncto concursus ad Δ ductam sectionem contingere.

quoniam enim Δ punctum intra angulum sectionem comprehendentem positum est, fieri potest, ut a Δ aliam quoque contingentem ducamus [II, 49]. du-ἀλλὰ διὰ τοῦ *Η*. ἔσται δή, ὡς ἡ *ΑΔ* πρὸς *ΔΒ*, ἡ *ΑΗ* πρὸς *ΗΒ*· ὅπερ ἄτοπον· ὑπόκειται γάρ, ὡς ἡ *ΑΔ* πρὸς *ΔΒ*, ἡ *ΑΓ* πρὸς *ΓΒ*.

ιϛ'.

Τῶν αὐτῶν ὄντων ἔστω τὸ *Δ* σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ τὰ λοιπὰ τὰ αὐτὰ γινέσθω.

λέγω, ὅτι ἡ ἀπὸ τοῦ *Ζ* ἐπὶ τὸ *Γ* ἐπιζευγνυμένη ἐκβαλλομένη συμπεσεῖται τῇ ἀντικειμένῃ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ *Δ* ἐφάψεται τῆς ἀντικειμένης τομῆς.



ἔστω γὰρ τὰ αὐτά, καὶ τὸ *Δ* σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ ἤχθω ἀπὸ τοῦ *Δ* ἐφαπτομένη τῆς *Α* τομῆς ἡ *ΔΕ*, καὶ ἐπεζεύχθω ἡ *ΕΖ* καὶ ἐκβαλλομένη, εἰ δυνατόν, μὴ ἐρχέσθω ἐπὶ τὸ *Γ*, ἀλλ' ἐπὶ τὸ *Η*. ἔσται δή, ὡς ἡ *ΑΗ* πρὸς *ΗΒ*, ἡ *ΑΔ* πρὸς *ΔΒ*· ὅπερ ἄτοπον· ὑπόκειται γάρ, ὡς ἡ *ΑΔ* πρὸς *ΔΒ*, ἡ *ΑΓ* πρὸς *ΓΒ*.

ιζ'.

Τῶν αὐτῶν ὄντων ἔστω τὸ *Δ* σημεῖον ἐπί τινος τῶν ἀσυμπτώτων.

catur $\varDelta E$, et ducta ZE, si fieri potest, per Γ ne cadat, sed per H. erit igitur $A\varDelta : \varDelta B = AH : HB$ [III, 37];[1]) quod absurdum est; supposuimus enim, esse $A\varDelta : \varDelta B = A\Gamma : \Gamma B$.

XVI.

Iisdem positis $\varDelta$ punctum positum sit in angulo, qui angulo ab asymptotis comprehenso deinceps positus est, et reliqua eadem fiant.

dico, rectam a Z ad Γ ductam productam cum sectione opposita concurrere, et rectam a puncto concursus ad $\varDelta$ ductam sectionem oppositam contingere.

sint enim eadem, et punctum $\varDelta$ positum sit in angulo, qui angulo ab asymptotis comprehenso deinceps positus est, ducaturque a $\varDelta$ sectionem A contingens $\varDelta E$, et ducatur EZ et producta, si fieri potest, ad Γ ne ueniat, sed ad H. erit igitur [III, 39]

$$AH : HB = A\varDelta : \varDelta B;$$

quod absurdum est; supposuimus enim, esse

$$A\varDelta : \varDelta B = A\Gamma : \Gamma B.$$

XVII.

Iisdem positis punctum $\varDelta$ in alterutra asymptotarum sit positum.

dico, rectam a Z ad Γ ductam parallelam esse asymptotae, in qua punctum positum sit.

---

1) Quae tum quoque ualet, cum utrumque punctum contactus in eadem opposita est positum, quamquam hic casus in figuris codicis non respicitur, ne in iis quidem, quas I p. 403 not. significaui.

λέγω, ὅτι ἡ ἀπὸ τοῦ Z ἐπὶ τὸ $Γ$ ἀγομένη παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ, ἐφ' ἧς ἐστι τὸ σημεῖον.

ἔστωσαν τὰ αὐτὰ τοῖς ἔμπροσθεν, τὸ δὲ $Δ$ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ ἤχθω διὰ τοῦ Z παράλληλος, καὶ εἰ δυνατόν, μὴ πιπτέτω ἐπὶ τὸ $Γ$, ἀλλ' ἐπὶ τὸ H.



ἔσται δή, ὡς ἡ $AΔ$ πρὸς $ΔB$, ἡ AH πρὸς HB· ὅπερ ἄτοπον. ἡ ἄρα ἀπὸ τοῦ Z παρὰ τὴν ἀσύμπτωτον ἐπὶ τὸ $Γ$ πίπτει.

ιη'.

Ἐὰν ἐν ἀντικειμέναις ληφθῇ τι σημεῖον μεταξὺ τῶν δύο τομῶν, καὶ ἀπ' αὐτοῦ δύο εὐθεῖαι διαχθῶσι τέμνουσαι ἑκατέραν τῶν τομῶν, καὶ ὡς ἔχουσιν αἱ μεταξὺ τῆς μιᾶς τομῆς πρὸς τὰς μεταξὺ τῆς ἑτέρας τομῆς καὶ τοῦ αὐτοῦ σημείου, οὕτως ἔχωσιν αἱ μείζους τῶν ἀπολαμβανομένων μεταξὺ τῶν ἀντικειμένων πρὸς τὰς ὑπεροχὰς αὐτῶν, ἡ διὰ τῶν περάτων ἀγομένη εὐθεῖα τῶν μειζόνων εὐθειῶν ταῖς τομαῖς συμπεσεῖται, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ ληφθὲν σημεῖον ἀγόμεναι εὐθεῖαι ἐφάψονται τῶν γραμμῶν.

ἔστωσαν ἀντικείμεναι αἱ A, B, καὶ τὸ $Δ$ σημεῖον μεταξὺ τῶν τομῶν. πρότερον ὑποκείσθω ἐν τῇ ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένῃ γωνίᾳ, καὶ διὰ τοῦ $Δ$ διήχθωσαν αἱ $AΔB$, $ΓΔΘ$. μείζων ἄρα ἐστὶν ἡ μὲν $AΔ$ τῆς $ΔB$, ἡ δὲ $ΓΔ$ τῆς $ΔΘ$, διότι ἴση ἐστὶν ἡ BN

23. αἱ] om. Vp; corr. Halley.

sint eadem, quae antea, punctum Δ autem in alterutra asymptotarum sit, ducaturque per Z illi parallela recta, et si fieri potest, in Γ ne cadat, sed in H. erit igitur [III, 36] $A\Delta : \Delta B = AH : HB$; quod absurdum est. ergo recta a Z asymptotae parallela ducta in Γ cadit.

XVIII.

Si in sectionibus oppositis punctum aliquod inter duas sectiones sumitur, ab eoque duae rectae utramque sectionem secantes producuntur, et quam rationem habent rectae inter punctum alteramque sectio-



nem positae ad rectas inter alteram sectionem idemque punctum positas, eam habent rectae maiores iis, quae inter sectiones oppositas abscinduntur, ad excessus earum, recta per terminos rectarum maiorum ducta cum sectionibus concurret, et rectae a punctis concursus ad sumptum punctum ductae lineas contingent.

sint oppositae A, B, et punctum Δ inter sectiones positum. prius in angulo ab asymptotis comprehenso supponatur, et per Δ producantur $A\Delta B$, $\Gamma\Delta\Theta$. itaτῇ ΑΜ. καὶ ὃν μὲν ἔχει λόγον ἡ ΑΔ πρὸς ΔΒ, ἐχέτω ἡ ΑΚ πρὸς ΚΒ, ὃν δὲ ἔχει λόγον ἡ ΓΔ πρὸς ΔΘ, ἐχέτω ἡ ΓΗ πρὸς ΗΘ. λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η συμπεσεῖται τῇ τομῇ, καὶ αἱ ἀπὸ τοῦ Δ ἐπὶ τὰς συμπτώσεις ἐφάψονται τῆς τομῆς.

ἐπεὶ γὰρ τὸ Δ ἐντός ἐστι τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, δυνατὸν ἀπὸ τοῦ Δ δύο ἐφαπτομένας ἀγαγεῖν. ἤχθωσαν αἱ ΔΕ, ΔΖ, καὶ ἐπεζεύχθω ἡ ΕΖ· ἐλεύσεται δὴ διὰ τῶν Κ, Η σημείων [εἰ γὰρ μή, ἢ διὰ τοῦ ἑνὸς αὐτῶν ἐλεύσεται μόνου ἢ δι' οὐδετέρου]. εἰ μὲν γὰρ δι' ἑνὸς αὐτῶν μόνου, ἡ ἑτέρα τῶν εὐθειῶν εἰς τὸν αὐτὸν λόγον τμηθήσεται καθ' ἕτερον σημεῖον· ὅπερ ἀδύνατον· εἰ δὲ δι' οὐδετέρου, ἐπ' ἀμφοτέρων τὸ ἀδύνατον συμβήσεται.

ιθ'.

Εἰλήφθω δή τι Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ διήχθωσαν αἱ εὐθεῖαι τέμνουσαι τὰς τομάς, καὶ διῃρήσθωσαν, ὡς εἴρηται.

λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἐφάψονται τῶν τομῶν.

ἤχθωσαν γὰρ ἀπὸ τοῦ Δ ἐφαπτόμεναι ἑκατέρας τῶν τομῶν αἱ ΔΕ, ΔΖ· ἡ ἄρα διὰ τῶν Ε, Ζ διὰ τῶν Κ, Η ἐλεύσεται. εἰ γὰρ μή, ἤτοι διὰ τοῦ ἑτέρου αὐτῶν ἥξει ἢ δι' οὐδετέρου, καὶ πάλιν ὁμοίως συναχθήσεται τὸ ἄτοπον.

---

4. αἱ] p, om. V. Δ] p, ΔΕ V. 10. εἰ — 11. οὐδετέρου] deleo. 11. οὐδετέρου] cvp, prius ο corr. m. 1 V. 16. Δ] p, τέταρτον V.

que $A\varDelta > \varDelta B$, $\varGamma\varDelta > \varDelta\Theta$, quia $BN = AM$. sit autem

$$A\varDelta : \varDelta B = AK : KB, \quad \varGamma\varDelta : \varDelta\Theta = \varGamma H : H\Theta.$$

dico, rectam per K, H ductam cum sectione concurrere, rectasque a $\varDelta$ ad puncta concursus ductas sectionem contingere.

quoniam enim $\varDelta$ intra angulum ab asymptotis comprehensum positum est, fieri potest, ut a $\varDelta$ duae rectae contingentes ducantur [II, 49]. ducantur $\varDelta E$, $\varDelta Z$, et ducatur EZ; ea igitur per puncta K, H ueniet.[1]) nam si per unum solum eorum ueniet, altera rectarum in alio puncto secundum eandem rationem secabitur [III, 37];[2]) quod fieri non potest. sin per neutrum ueniet, in utraque absurdum eueniet.

XIX.

Iam punctum $\varDelta$ in angulo sumatur, qui angulo ab asymptotis comprehenso deinceps est positus, rectae-



que sectiones secantes producantur et, ut dictum est, diuidantur.

dico, rectam per K, H productam cum utraque

1) Quae sequuntur lin. 10—11, et inutilia sunt et propter γάρ lin. 11 non ferenda.

2) Cf. supra p. 27 not.

κ'.

Ἐὰν δὲ τὸ ληφθὲν σημεῖον ἐπί τινος ᾖ τῶν ἀσυμπτώτων, καὶ τὰ λοιπὰ γένηται τὰ αὐτά, ἡ διὰ τῶν περάτων τῶν ὑπεροχῶν ἀγομένη εὐθεῖα παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ, ἐφ' ἧς ἐστι τὸ σημεῖον, καὶ ἡ ἀπὸ τοῦ σημείου ἐπὶ τὴν σύμπτωσιν τῆς τομῆς καὶ τῆς διὰ τῶν περάτων ἠγμένης εὐθείας ἐφάψεται τῆς τομῆς.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἔστω ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ τὰ λοιπὰ τὰ αὐτὰ γινέσθω. λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.



ἤχθω ἀπὸ τοῦ Δ ἐφαπτομένη ἡ ΔΖ, καὶ ἀπὸ τοῦ Ζ παρὰ τὴν ἀσύμπτωτον, ἐφ' ἧς ἐστι τὸ Δ, ἤχθω εὐθεῖα. ἥξει δὴ διὰ τῶν Κ, Η. εἰ γὰρ μή, ἢ διὰ τοῦ ἑτέρου αὐτῶν ἥξει ἢ δι' οὐδετέρου, καὶ τὰ αὐτὰ ἄτοπα συμβήσεται τοῖς πρότερον.

κα'.

Ἔστωσαν πάλιν ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ ἡ μὲν ΔΒΚ τῇ τομῇ καθ' ἓν μόνον σημεῖον συμβαλλέτω τὸ Β παράλληλος οὖσα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, ἡ δὲ ΓΔΘ ἑκατέρᾳ τῶν τομῶν συμβαλλέτω, καὶ ἔστω, ὡς ἡ ΓΔ πρὸς ΔΘ, ἡ ΓΗ πρὸς ΗΘ, τῇ δὲ ΔΒ ἴση ἔστω ἡ ΒΚ.

26. συμβαλλέτω] p, συμβαλέτω Vv.

opposita concurrere, rectasque a punctis concursus ad Δ ductas sectiones contingere.

ducantur enim a Δ utramque sectionem contingentes ΔE, ΔZ; itaque recta per E, Z ducta per K, H ueniet. nam si minus, aut per alterum eorum ueniet aut per neutrum, rursusque eodem modo absurdum concludemus [III, 39].

XX.

Sin punctum sumptum in alterutra asymptotarum positum est, et reliqua eadem fiunt, recta per terminos excessuum ducta parallela erit asymptotae, in qua punctum positum est, et recta a puncto ducta ad concursum sectionis rectaeque per terminos ductae sectionem continget.

sint oppositae A, B, et punctum Δ in alterutra asymptotarum sit, reliquaque eadem fiant. dico, rectam per K, H ductam cum sectione concurrere, rectamque a puncto concursus ad Δ ductam sectionem contingere.

a Δ contingens ducatur ΔZ, et a Z recta ducatur asymptotae parallela, in qua est Δ; ea igitur per K, H ueniet. nam si minus, aut per alterum eorum ueniet aut per neutrum, et eadem euenient absurda, quae antea [III, 36].

XXI.

Rursus sectiones oppositae sint A, B, et Δ punctum in alterutra asymptotarum sit, et $\Delta B K$ alteri asymptotae parallela cum sectione in uno puncto solo B concurrat, $\Gamma\Delta\Theta$ autem cum utraque sectione concurrat, sitque $\Gamma\Delta : \Delta\Theta = \Gamma H : H\Theta$ et $BK = \Delta B$.

λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η σημείων συμπεσεῖται τῇ τομῇ καὶ παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ, ἐφ' ἧς ἐστι τὸ Δ σημεῖον, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἀγομένη ἐφάψεται τῆς τομῆς.



ἤχθω γὰρ ἐφαπτομένη ἡ ΔΖ, καὶ ἀπὸ τοῦ Ζ παρὰ τὴν ἀσύμπτωτον, ἐφ' ἧς ἐστι τὸ Δ, ἤχθω εὐθεῖα· ἥξει δὴ διὰ τῶν Κ, Η. εἰ γὰρ μή, τὰ πρότερον εἰρημένα ἄτοπα συμβήσεται.

κβ'.

Ἔστωσαν δὴ ὁμοίως αἱ ἀντικείμεναι καὶ αἱ ἀσύμπτωτοι, καὶ τὸ Δ σημεῖον ὁμοίως εἰλήφθω, καὶ ἡ μὲν ΓΔΘ τέμνουσα τὰς τομάς, ἡ δὲ ΔΒ παράλληλος τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, καὶ ἔστω, ὡς ἡ ΓΔ πρὸς ΔΘ, ἡ ΓΗ πρὸς ΗΘ, τῇ δὲ ΔΒ ἴση ἡ ΒΚ.

λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἐφάψονται τῶν ἀντικειμένων.

ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΕ, ΔΖ, καὶ ἐπεζεύχθω ἡ ΕΖ καί, εἰ δυνατόν, μὴ ἐρχέσθω διὰ τῶν Κ, Η, ἀλλ' ἤτοι διὰ τοῦ ἑτέρου ἢ δι' οὐδετέρου [ἥξει]. εἰ μὲν διὰ τοῦ Η μόνου, οὐκ ἔσται ἡ ΔΒ τῇ ΒΚ ἴση, ἀλλ' ἑτέρᾳ· ὅπερ ἄτοπον. εἰ δὲ διὰ μόνου τοῦ Κ,

1. Κ, Η] cv, euan. V; Η, Κ p. 7. ἐφαπτομένη] p, ἐφαπτόμεναι V. 20. Κ, Η] Η, Κ V, Κ, Β p; corr. Comm 21. αἱ] p, om. V. 25. ἤτοι] p, ἤτοι ἢ V. ἥξει] deleo.

dico, rectam per puncta K, H ductam cum sectione concurrere parallelamque esse asymptotae, in qua sit punctum $\varDelta$, rectamque a puncto concursus ad $\varDelta$ ductam sectionem contingere.

ducatur enim contingens $\varDelta Z$, et a Z recta ducatur parallela asymptotae, in qua est punctum $\varDelta$; ea igitur per K, H ueniet. nam si minus, absurda, quae antea diximus, euenient [III, 36].

XXII.

Iam eodem modo sint propositae sectiones oppositae asymptotaeque, et punctum $\varDelta$ eodem modo[1]) sumatur, et $\Gamma\varDelta\Theta$ sectiones secans, $\varDelta B$ autem alteri asymptotae parallela, sitque $\Gamma\varDelta : \varDelta\Theta = \Gamma H : H\Theta$, et $BK = \varDelta B$.



dico, rectam per K, H ductam cum utraque opposita concurrere, et rectas a punctis concursus ad $\varDelta$ ductas oppositas contingere.

ducantur contingentes $\varDelta E$, $\varDelta Z$, ducaturque EZ et, si fieri potest, per K, H ne cadat, sed aut per al-

1) Hic aliquid turbatum est; nam punctum $\varDelta$ in angulo deinceps posito positum esse necesse est, et ita in figura codicis V est. quare Memus ceterique hoc in uerbis Apollonii addiderunt (τὸ $\varDelta$ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, ὁμοίως Halley).

οὐκ ἔσται, ὡς ἡ ΓΔ πρὸς ΔΘ, ἡ ΓΗ πρὸς ΗΘ, ἀλλ' ἄλλη τις πρὸς ἄλλην. εἰ δὲ δι' οὐδετέρου τῶν Κ, Η, ἀμφότερα τὰ ἀδύνατα συμβήσεται.

κγ'.

Ἔστωσαν πάλιν ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ ἡ μὲν ΒΔ ἤχθω τὴν Β τομὴν καθ' ἓν μόνον τέμνουσα, τῇ δὲ ἑτέρᾳ τῶν ἀσυμπτώτων παράλληλος, ἡ δὲ ΔΑ τὴν Α τομὴν ὁμοίως, καὶ ἔστω ἴση ἡ μὲν ΔΒ τῇ ΒΗ, ἡ δὲ ΔΑ τῇ ΑΚ.

λέγω, ὅτι ἡ διὰ τῶν Κ, Η συμβάλλει ταῖς τομαῖς, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἀγόμεναι ἐφάπτονται τῶν τομῶν.

ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΕ, ΔΖ, καὶ ἐπιζευχθεῖσα ἡ ΕΖ, εἰ δυνατόν, μὴ ἐρχέσθω διὰ τῶν Κ, Η. ἤτοι



δὴ διὰ τοῦ ἑτέρου αὐτῶν ἐλεύσεται ἢ δι' οὐδετέρου, καὶ ἤτοι ἡ ΔΑ οὐκ ἔσται ἴση τῇ ΑΚ, ἀλλὰ ἄλλῃ τινί·

1. ΗΘ] ΘΚ V; corr. Memus. 2. οὐδετέρας Vp; corr. Halley. 5. Α] Δ Vp; corr. Memus. 12. συμπτώσεων] cp; συμπτώτων V.

terum aut per neutrum. iam si per H solum cadit, non erit $\varDelta B$ rectae BK aequalis, sed alii cuidam [III, 31]; quod absurdum est. sin per K solum, non erit $\Gamma\varDelta : \varDelta\Theta = \Gamma H : H\Theta$, sed alia quaedam ad aliam [III, 39]. sin per neutrum punctorum K, H cadit, utrumque absurdum eueniet.

XXIII.

Rursus sint oppositae A, B, et punctum $\varDelta$ positum sit in angulo, qui angulo ab asymptotis comprehenso deinceps est positus, ducaturque $B\varDelta$ sectionem B in uno puncto solo secans, alteri autem asymptotarum parallela, et $\varDelta A$ eodem modo sectionem A secet, sitque $\varDelta B = BH$, $\varDelta A = AK$.

dico, rectam per puncta K, H ductam cum sectionibus concurrere, et rectas a punctis concursus ad $\varDelta$ ductas sectiones contingere.

ducantur contingentes $\varDelta E$, $\varDelta Z$, et ducta EZ, si fieri potest, per K, H ne cadat. aut igitur per alterum eorum cadet aut per neutrum, et aut $\varDelta A$ rectae AK aequalis non erit, sed alii cuidam [III, 31]; quod absurdum est; aut non erit $\varDelta B = BH$, aut neutra neutri, et rursus in utraque idem absurdum eueniet. ergo EZ per K, H ueniet.

XXIV.

Coni sectio cum coni sectione uel arcu circuli ita non concurrit, ut pars eadem sit, pars non communis.

ὅπερ ἄτοπον· ἢ ἡ ΔΒ τῇ ΒΗ οὐκ ἴση, ἢ οὐδετέρα οὐδετέρᾳ, καὶ πάλιν ἐπ' ἀμφοτέρων τὸ αὐτὸ ἄτοπον συμβήσεται. ἥξει ἄρα ἡ ΕΖ διὰ τῶν Κ, Η.

κδ'.

Κώνου τομὴ κώνου τομῇ ἢ κύκλου περιφερείᾳ οὐ συμβάλλει οὕτως, ὥστε μέρος μέν τι εἶναι ταὐτόν, μέρος δὲ μὴ εἶναι κοινόν.

εἰ γὰρ δυνατόν, κώνου τομὴ ἡ ΔΑΒΓ κύκλου περιφερείᾳ τῇ ΕΑΒΓ συμβαλλέτω, καὶ ἔστω αὐτῶν κοινὸν μέρος τὸ αὐτὸ τὸ ΑΒΓ, μὴ κοινὸν δὲ τὸ ΑΔ καὶ τὸ ΑΕ, καὶ εἰλήφθω ἐπ' αὐτῶν σημεῖον τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΘΑ, καὶ διὰ τυχόντος σημείου τοῦ Ε τῇ ΑΘ παράλληλος ἤχθω ἡ ΔΕΓ, καὶ τετμήσθω ἡ ΑΘ δίχα κατὰ τὸ Η, καὶ διὰ τοῦ Η διάμετρος ἤχθω ἡ ΒΗΖ. ἡ ἄρα διὰ τοῦ Β παρὰ τὴν ΑΘ ἐφάψεται ἑκατέρας τῶν τομῶν καὶ παράλληλος ἔσται τῇ ΔΕΓ, καὶ ἔσται ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ ΔΖ τῇ ΖΓ ἴση, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ΕΖ τῇ ΖΓ ἴση. ὥστε καὶ ἡ ΔΖ τῇ ΖΕ ἐστιν ἴση· ὅπερ ἀδύνατον.

κε'.

Κώνου τομὴ κώνου τομὴν ἢ κύκλου περιφέρειαν οὐ τέμνει κατὰ πλείονα σημεῖα τεσσάρων.

εἰ γὰρ δυνατόν, τεμνέτω κατὰ πέντε τὰ Α, Β, Γ, Δ, Ε, καὶ ἔστωσαν αἱ Α, Β, Γ, Δ, Ε συμπτώσεις ἐφεξῆς μηδεμίαν παραλείπουσαι μεταξὺ αὐτῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΔ καὶ ἐκβεβλήσθωσαν· συμπεσοῦνται δὴ αὗται ἐκτὸς τῶν τομῶν ἐπὶ τῆς παραβολῆς καὶ ὑπερβολῆς. συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ὃν μὲν ἔχει

2. οὐδετέρᾳ] om. Vp; corr. Halley cum Comm. 8. γάρ] vpc, ins. m. 1 V. 23. τά] p, αἱ V. 25. αὐτῶν] scripsi, αὐτῶν Vpc.

nam si fieri potest, coni sectio $\varDelta AB\Gamma$ cum arcu circuli $EAB\Gamma$ concurrat, eorumque communis sit pars eadem $AB\Gamma$, non communes autem $A\varDelta$, AE, et in iis sumatur punctum Θ, ducaturque ΘA, per punctum autem quodlibet E rectae $A\Theta$ parallela ducatur $\varDelta E\Gamma$, et $A\Theta$ in H in duas partes aequales secetur, per H autem diametrus ducatur BHZ. itaque recta per B rectae $A\Theta$ parallela ducta utramque sectionem continget [I, 32], et rectae $\varDelta E\Gamma$ parallela erit [Eucl. I, 30], eritque in altera sectione $\varDelta Z = Z\Gamma$, in altera $EZ = Z\Gamma$ [I, 46—47]. quare etiam $\varDelta Z = ZE$; quod fieri non potest.



XXV.

Coni sectio coni sectionem uel arcum circuli non secat in pluribus punctis quam quattuor.

nam si fieri potest, in quinque secet $A, B, \Gamma, \varDelta, E$, et puncta concursus $A, B, \Gamma, \varDelta, E$ deinceps sint posita nullum inter se praetermittentia, et ducantur AB, $\Gamma\varDelta$ producanturque; eae igitur in parabola et hyperbola extra sectiones concurrent [II, 24—25]. concurrant in $\varLambda$, sitque $\varLambda A : \varLambda B = AO : OB$ et

$$\varDelta\varLambda : \varLambda\Gamma = \varDelta\Pi : \Pi\Gamma.$$

itaque recta a Π ad O ducta in utramque partem producta cum sectione concurret, et rectae a punctis concursus ad $\varLambda$ ductae sectiones contingent [prop. IX].

λόγον ἡ ΑΛ πρὸς ΛΒ, ἐχέτω ἡ ΑΟ πρὸς ΟΒ, ὃν δὲ ἔχει λόγον ἡ ΔΛ πρὸς ΛΓ, ἐχέτω ἡ ΔΠ πρὸς ΠΓ. η ἄρα ἀπὸ τοῦ Π ἐπὶ τὸ Ο ἐπιζευγνυμένη ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Λ ἐπιζευγνύμεναι ἐφάψονται τῶν τομῶν. συμπιπτέτω δὴ κατὰ τὰ Θ, Ρ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΛ, ΛΡ· ἐφάψονται δὴ αὗται. ἡ ἄρα ΕΛ τέμνει ἑκατέραν τομήν, ἐπείπερ μεταξὺ τῶν Β, Γ σύμπτωσις οὐκ ἔστι. τεμνέτω κατὰ τὰ Μ, Η· ἔσται ἄρα διὰ μὲν τὴν ἑτέραν τομήν, ὡς ἡ ΕΛ πρὸς ΛΗ, ἡ ΕΝ πρὸς ΝΗ, διὰ δὲ τὴν ἑτέραν, ὡς ἡ ΕΛ πρὸς ΛΜ, ἡ ΕΝ πρὸς ΝΜ. τοῦτο δὲ ἀδύνατον· ὥστε καὶ τὸ ἐξ ἀρχῆς.

ἐὰν δὲ αἱ ΑΒ, ΔΓ παράλληλοι ὦσιν, ἔσονται μὲν αἱ τομαὶ ἐλλείψεις ἢ κύκλου περιφέρεια. τετμήσθωσαν αἱ ΑΒ, ΓΔ δίχα κατὰ τὰ Ο, Π, καὶ ἐπεζεύχθω ἡ ΠΟ καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα· συμπεσεῖται δὴ ταῖς τομαῖς. συμπιπτέτω δὴ κατὰ τὰ Θ, Ρ. ἔσται δὴ διάμετρος τῶν τομῶν ἡ ΘΡ, τεταγμένως δὲ ἐπ' αὐτὴν κατηγμέναι αἱ ΑΒ, ΓΔ. ἤχθω δὴ ἀπὸ τοῦ Ε παρὰ τὰς ΑΒ, ΓΔ ἡ ΕΝΜΗ· τεμεῖ ἄρα ἡ ΕΜΗ τὴν ΘΡ καὶ ἑκατέραν τῶν γραμμῶν, διότι ἑτέρα σύμπτωσις οὐκ ἔστι παρὰ τὰς Α, Β, Γ, Δ. ἔσται δὴ διὰ ταῦτα ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ ΝΜ ἴση τῇ ΕΝ, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ΝΕ τῇ ΝΗ ἴση· ὥστε καὶ ἡ ΝΜ τῇ ΝΗ ἐστιν ἴση· ὅπερ ἀδύνατον.

---

2. ΔΛ] p, ΔΓ V. 15. περιφέρεια] pv, περιφερείαι V. 16. ΓΔ] cpv, Γ euan. V. 23. Δ] Δ, Ε p.

concurrat igitur in Θ, P, ducanturque $\Theta\Delta$, ΔP; eae igitur contingent. itaque $E\Delta$ utramque sectionem se-



cat, quoniam inter B, Γ nullum est punctum concursus. secet in M, H. itaque propter alteram sectionem erit

$$E\Delta : \Delta H = EN : NH,$$

propter alteram autem $E\Delta : \Delta M = EN : NM$ [III, 37]. hoc autem fieri non potest; ergo ne illud quidem, quod ab initio posuimus.

sin AB, $\Delta\Gamma$ parallelae sunt, sectiones erunt ellipses uel altera arcus circuli. secentur AB, $\Gamma\Delta$ in O, Π



in binas partes aequales, ducaturque ΠO et in utramque partem producatur; cum sectionibus igitur concurret. concurrat igitur in Θ, P. itaque ΘP diametrus erit sectionum [II, 28], et ad eam ordinate ductae AB, $\Gamma\Delta$. ducatur igitur ab E rectis AB, $\Gamma\Delta$ parallela $ENMH$. EMH igitur rectam ΘP et utramque lineam secat, quoniam nullum aliud est punctum concursus praeter A, B, Γ, Δ. prop-κϛ'.

Ἐὰν τῶν εἰρημένων γραμμῶν τινες καθ' ἓν ἐφάπτωνται σημεῖον ἀλλήλων, οὐ συμβάλλουσιν ἑαυταῖς καθ' ἕτερα σημεῖα πλείονα ἢ δύο.

ἐφαπτέσθωσαν γὰρ ἀλλήλων τινὲς δύο τῶν εἰρημένων γραμμῶν κατὰ τὸ Α σημεῖον. λέγω, ὅτι οὐ συμβάλλουσι κατ' ἄλλα σημεῖα πλείονα ἢ δύο.

εἰ γὰρ δυνατόν, συμβαλλέτωσαν κατὰ τὰ Β, Γ, Δ, καὶ ἔστωσαν αἱ συμπτώσεις ἐφεξῆς ἀλλήλαις μηδεμίαν μεταξὺ παραλείπουσαι, καὶ ἐπεζεύχθω ἡ ΒΓ καὶ ἐκβεβλήσθω, καὶ ἀπὸ τοῦ Α ἐφαπτομένη ἤχθω ἡ ΑΛ· ἐφάψεται δὴ τῶν δύο τομῶν καὶ συμπεσεῖται τῇ ΓΒ. συμπιπτέτω κατὰ τὸ Λ, καὶ γινέσθω, ὡς ἡ ΓΛ πρὸς ΛΒ, ἡ ΓΠ πρὸς ΠΒ, καὶ ἐπεζεύχθω ἡ ΑΠ καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ ταῖς τομαῖς, καὶ αἱ ἀπὸ τῶν



συμπτώσεων ἐπὶ τὸ Λ ἐφάψονται τῶν τομῶν. ἐκβεβλήσθω καὶ συμπιπτέτω κατὰ τὰ Θ, Ρ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΛ, ΛΡ· ἐφάψονται δὴ αὗται τῶν τομῶν. ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Λ ἐπιζευγνυμένη τέμνει ἑκατέραν τῶν τομῶν, καὶ συμβήσεται τὰ πρότερον εἰρημένα ἄτοπα. οὐκ ἄρα τέμνουσιν ἀλλήλας κατὰ πλείονα σημεῖα ἢ δύο.

7. ἢ] p, om. V. 14. δύο] β̄ V.

terea erit [I def. 4] in altera sectione $NM = \Xi N$, in altera $N\Xi = NH$; quare etiam $NM = NH$; quod fieri non potest.

XXVI.

Si quae linearum, quas diximus, inter se in uno puncto contingunt, non concurrunt inter se in aliis punctis pluribus quam duobus.

nam duae aliquae linearum, quas diximus, inter se contingant in puncto A. dico, eas non concurrere in aliis punctis pluribus quam duobus.

nam si fieri potest, concurrant in B, Γ, Δ, et puncta concursus deinceps sint posita nullum inter se praetermittentia, ducaturque $B\Gamma$ et producatur, ab A autem contingens ducatur $A\Lambda$; ea igitur duas sectiones continget et cum ΓB concurret. concurrat in Λ, et fiat $\Gamma\Lambda : \Lambda B = \Gamma\Pi : \Pi B$, ducaturque $A\Pi$ et producatur; concurret igitur cum sectionibus, et rectae a punctis concursus ad Λ ductae sectiones contingent [prop. I]. producatur et in Θ, P concurrat, ducanturque $\Theta\Lambda$, ΛP; eae igitur sectiones contingent. itaque recta a Δ ad Λ ducta utramque sectionem secat, et eadem, quae antea [prop. XXV] diximus, absurda euenient [III, 37]. ergo non secant inter se in pluribus punctis quam duobus.

sin in ellipsi uel arcu circuli ΓB et $A\Lambda$ parallelae sunt, eodem modo, quo in praecedenti, demonstrationem conficiemus, cum demonstrauerimus, $A\Theta$ diametrum esse.

ἐὰν δὲ ἐπὶ τῆς ἐλλείψεως ἢ τῆς τοῦ κύκλου περιφερείας ἡ ΓΒ παράλληλος ᾖ τῇ ΑΔ, ὁμοίως τῷ προειρημένῳ ποιησόμεθα τὴν ἀπόδειξιν διάμετρον δείξαντες τὴν ΑΘ.

κζ'.

Ἐὰν τῶν προειρημένων γραμμῶν τινες κατὰ δύο σημεῖα ἐφάπτωνται ἀλλήλων, οὐ συμβάλλουσιν ἀλλήλαις καθ' ἕτερον.

δύο γὰρ τῶν εἰρημένων γραμμῶν ἐφαπτέσθωσαν ἀλλήλων κατὰ δύο σημεῖα τὰ Α, Β. λέγω, ὅτι ἀλλήλαις κατὰ ἄλλο σημεῖον οὐ συμβάλλουσιν.

εἰ γὰρ δυνατόν, συμβαλλέτωσαν καὶ κατὰ τὸ Γ, καὶ ἔστω πρότερον τὸ Γ ἐκτὸς τῶν Α, Β ἁφῶν, καὶ ἤχθωσαν ἀπο τῶν Α, Β ἐφαπτόμεναι· ἐφάψονται ἄρα ἀμφοτέρων τῶν γραμμῶν. ἐφαπτέσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Δ, ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς, καὶ ἐπεζεύχθω ἡ ΓΔ· τεμεῖ δὴ ἑκατέραν τῶν τομῶν. τεμνέτω κατὰ τὰ Η, Μ, καὶ ἐπεζεύχθω ἡ ΑΝΒ. ἔσται ἄρα ἐν μὲν τῇ ἑτέρᾳ τομῇ, ὡς ἡ ΓΔ πρὸς ΔΗ, ἡ ΓΝ πρὸς ΝΗ, ἐν δὲ τῇ ἑτέρᾳ, ὡς ἡ ΓΔ πρὸς ΔΜ, ἡ ΓΝ πρὸς ΝΜ· ὅπερ ἄτοπον.

κη'.

Ἐὰν δὲ ἡ ΓΗ παράλληλος ᾖ ταῖς κατὰ τὰ Α, Β σημεῖα ἐφαπτομέναις, ὡς ἐπὶ τῆς ἐλλείψεως ἐν τῇ δευτέρᾳ καταγραφῇ, ἐπιζεύξαντες τὴν ΑΒ ἐροῦμεν, ὅτι διάμετρος ἔσται τῶν τομῶν. ὥστε δίχα τμηθήσεται ἑκατέρα τῶν ΓΗ, ΓΜ κατὰ τὸ Ν· ὅπερ ἄτοπον. οὐκ ἄρα καθ' ἕτερον σημεῖον συμβάλλουσιν αἱ γραμμαὶ ἀλλήλαις, ἀλλὰ κατὰ μόνα τὰ Α, Β.

---

7. ἀλλήλαις] p, ἀλλήλως V. 14. ἐφάψονται] p, ἐφάψεται V. 17. τεμεῖ] p, τεμεῖν V. 22. κη'] om. Vp. 23. τά] p, om. V 27. ΓΜ] cvp, Γ e corr. m. 1 V.

XXVII.[1])

Si quae linearum, quas antea diximus, in duobus punctis inter se contingunt, in alio puncto inter se non concurrunt.

nam ex lineis, quas diximus, duae inter se in duobus punctis contingant A, B. dico, eas in alio puncto inter se non concurrere.

nam si fieri potest, etiam in Γ concurrant, et Γ prius extra puncta contactus A, B positum sit, ducanturque ab A, B contingentes; contingent igitur utramque lineam. contingant et concurrant in Δ, ut in prima figura, ducaturque $\Gamma\Delta$; ea igitur utramque sectionem secabit. secet in H, M, et ducatur ΔNB. itaque erit in altera sectione [III, 37] $\Gamma\Delta : \Delta H = \Gamma N : NH$, in altera autem $\Gamma\Delta : \Delta M = \Gamma N : NM$; quod absurdum est.



XXVIII.

Sin ΓH rectis in A, B contingentibus parallela est, ut in ellipsi in secunda figura, ducta AB concludemus, eam diametrum esse sectionum [II, 27]. quare utraque ΓH, ΓM in N in binas partes aequales secabitur [I def. 4]; quod absurdum est. ergo lineae in nullo alio puncto concurrent, sed in solis A, B.



1) Hanc propositionem in tres diuisi, ut numerus XLIII apud Eutocium suae responderet propositioni; nam ne pro-

κθ'.

Ἔστω δὴ τὸ Γ μεταξὺ τῶν ἁφῶν, ὡς ἐπὶ τῆς τρίτης καταγραφῆς.

φανερόν, ὅτι οὐκ ἐφάψονται αἱ γραμμαὶ ἀλλήλων κατὰ τὸ Γ· κατὰ δύο γὰρ μόνον ὑπόκεινται ἐφαπτόμεναι. τεμνέτωσαν οὖν κατὰ τὸ Γ, καὶ ἤχθωσαν ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι αἱ ΑΔ, ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ· ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Ζ διάμετρος ἔσται. διὰ μὲν οὖν τοῦ Γ οὐκ ἐλεύσεται. εἰ γὰρ ἥξει, ἡ διὰ τοῦ Γ παρὰ τὴν ΑΒ ἀγομένη ἐφάψεται ἀμφοτέρων τῶν τομῶν· τοῦτο δὲ ἀδύνατον. ἤχθω δὴ ἀπὸ τοῦ Γ παρὰ τὴν ΑΒ ἡ ΓΚΗΜ· ἔσται δὴ ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ ΓΚ τῇ ΚΗ ἴση, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ΚΜ τῇ ΚΓ ἴση. ὥστε καὶ ἡ ΚΜ τῇ ΚΗ ἴση· ὅπερ ἀδύνατον.



ὁμοίως δὲ καί, ἐὰν παράλληλοι ὦσιν αἱ ἐφαπτόμεναι, κατὰ τὰ αὐτὰ τοῖς ἐπάνω τὸ ἀδύνατον δειχθήσεται.

λ'.

Παραβολὴ παραβολῆς οὐκ ἐφάψεται κατὰ πλείονα σημεῖα ἢ ἕν.

εἰ γὰρ δυνατόν, ἐφαπτέσθωσαν αἱ ΑΗΒ, ΑΜΒ παραβολαὶ κατὰ τὰ Α, Β, καὶ ἤχθωσαν ἐφαπτόμεναι αἱ ΑΔ, ΔΒ· ἐφάψονται δὴ αὗται τῶν τομῶν ἀμφοτέρων καὶ συμπεσοῦνται κατὰ τὸ Δ.

1. κθ'] om. Vp. 2. ὡς] p, om. V.

XXIX.

Iam uero Γ inter puncta contactus positum sit, ut in tertia figura.

manifestum est, lineas in Γ inter se non contingere; nam suppositum est, eas in duobus solis contingere. secent igitur in Γ, ducanturque ab A, B contingentes $A\varDelta$, $\varDelta B$, et ducatur AB seceturque in Z in duas partes aequales; itaque recta ab $\varDelta$ ad Z ducta diametrus erit [II, 29]. iam per Γ non ueniet; nam si ueniet, recta per Γ rectae AB parallela ducta utramque sectionem continget [II, 5—6]; hoc autem fieri non potest. ducatur igitur a Γ rectae AB parallela ΓKHM; erit igitur [I def. 4] in altera sectione $\Gamma K = KH$, in altera autem $KM = K\Gamma$. quare etiam $KM = KH$; quod fieri non potest.

similiter autem etiam, si rectae contingentes parallelae sunt, eodem modo, quo supra, demonstrabimus fieri non posse.

XXX.

Parabola parabolam non continget in pluribus punctis quam in uno.

nam si fieri potest, parabolae AHB, AMB in A, B contingant, ducanturque contingentes $A\varDelta$, $\varDelta B$; eae igitur utramque sectionem contingent et in $\varDelta$ concurrent.

ducatur AB et in Z in duas partes aequales secetur, ducaturque $\varDelta Z$. quoniam igitur duae lineae AHB, AMB inter se contingunt in duobus punctis

---

positiones XXV et XXVI in binas diuidamus, obstat uocabulum προειρημένῳ prop. XXVI p. 44, 2.

ἐπεζεύχθω ἡ ΑΒ καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ ἤχθω ἡ ΔΖ. ἐπεὶ οὖν δύο γραμμαὶ αἱ ΑΗΒ, ΑΜΒ ἐφάπτονται ἀλλήλων κατὰ δύο τὰ Α, Β, οὐ συμβάλλουσιν ἀλλήλαις καθ' ἕτερον· ὥστε ἡ ΔΖ ἑκατέραν τῶν τομῶν τέμνει. τεμνέτω κατὰ τὰ Η, Μ· ἔσται δὴ διὰ μὲν τὴν ἑτέραν τομὴν ἡ ΔΗ τῇ ΗΖ ἴση, διὰ δὲ τὴν ἑτέραν ἡ ΔΜ τῇ ΜΖ ἴση· ὅπερ ἀδύνατον. οὐκ ἄρα παραβολὴ παραβολῆς ἐφάψεται κατὰ πλείονα σημεῖα ἢ ἕν.



λα'.

Παραβολὴ ὑπερβολῆς οὐκ ἐφάψεται κατὰ δύο σημεῖα ἐκτὸς αὐτῆς πίπτουσα.

ἔστω παραβολὴ μὲν ἡ ΑΗΒ, ὑπερβολὴ δὲ ἡ ΑΜΒ, καὶ εἰ δυνατόν, ἐφαπτέσθωσαν κατὰ τὰ Α, Β, καὶ ἤχθωσαν ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι ἑκατέρας τῶν Α, Β τομῶν συμπίπτουσαι ἀλλήλαις κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ τετμήσθω δίχα κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΔΖ.

ἐπεὶ οὖν αἱ ΑΗΒ, ΑΜΒ τομαὶ κατὰ τὰ Α, Β ἐφάπτονται, κατ' ἄλλο οὐ συμβάλλουσιν· ἡ ἄρα ΔΖ κατ' ἄλλο καὶ ἄλλο τέμνει τὰς τομάς. τεμνέτω κατὰ τὰ Η, Μ, καὶ προσεκβεβλήσθω ἡ ΔΖ· πεσεῖται δὴ ἐπὶ τὸ κέντρον τῆς ὑπερβολῆς. ἔστω κέντρον τὸ Δ· ἔσται δη διὰ μὲν τὴν ὑπερβολήν, ὡς ἡ ΖΔ πρὸς ΔΜ, ἡ

8. τά] p, τό V. 11. οὐκ] cpv; euan. V, add. mg. m. rec. παραβολή] p, om. V.

A, B, in nullo alio inter se concurrunt [prop. XXVII—XXIX]; quare ΛZ utramque sectionem secat. secet in H, M; erit igitur [I, 35] propter alteram sectionem $\Lambda H = HZ$, propter alteram autem $\Lambda M = MZ$; quod fieri non potest. ergo parabola non continget in pluribus punctis quam in uno.

XXXI.

Parabola hyperbolam non continget in duobus punctis extra eam cadens.

sit parabola AHB, hyperbola autem AMB, et, si fieri potest, contingant in A, B, ducanturque ab



A, B rectae utramque sectionem A, B contingentes, quae in Λ inter se concurrant, et ducatur AB seceturque in Z in duas partes aequales, ducaturque ΛZ.

quoniam igitur sectiones AHB, AMB in A, B contingunt, in nullo alio puncto concurrunt [prop. XXVII—XXIX]; ΛZ igitur in alio atque alio puncto sectiones secat. secet in H, M, et ΛZ producatur; ueniet igitur per centrum hyperbolae [II, 29]. sit centrum Δ; erit igitur propter hyperbolam [I, 37]

$$Z\Delta : \Delta M = \Delta M : \Delta\Lambda$$

[Eucl. VI, 17] $= ZM : M\Lambda$ [Eucl. V, 17; V, 16].

ΜΔ πρὸς ΔΛ καὶ λοιπὴ ἡ ΖΜ πρὸς ΜΛ. μείζων δὲ ἡ ΖΔ τῆς ΔΜ· μείζων ἄρα καὶ ἡ ΖΜ τῆς ΜΛ. διὰ δὲ τὴν παραβολὴν ἴση ἡ ΖΗ τῇ ΗΛ· ὅπερ ἀδύνατον.

λβ'.

Παραβολὴ ἐλλείψεως ἢ κύκλου περιφερείας οὐκ ἐφάψεται κατὰ δύο σημεῖα ἐντὸς αὐτῆς πίπτουσα.

ἔστω γὰρ ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ ΑΗΒ, παραβολὴ δὲ ἡ ΑΜΒ, καὶ εἰ δυνατόν, ἐφαπτέσθωσαν κατὰ δύο τὰ Α, Β, καὶ ἤχθωσαν ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι τῶν τομῶν καὶ συμπίπτουσαι κατὰ τὸ Λ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΛΖ· τεμεῖ δὴ ἑκατέραν τῶν τομῶν κατ' ἄλλο καὶ ἄλλο, ὡς εἴρηται. τεμνέτω κατὰ τὰ Η, Μ, καὶ ἐκβεβλήσθω ἡ ΛΖ ἐπὶ τὸ Δ, καὶ ἔστω τὸ Δ κέντρον τῆς ἐλλείψεως ἢ τοῦ κύκλου. ἔστιν ἄρα διὰ τὴν ἔλλειψιν καὶ τὸν κύκλον, ὡς ἡ ΛΔ πρὸς ΔΗ, ἡ ΔΗ πρὸς ΔΖ καὶ λοιπὴ ἡ ΛΗ πρὸς ΗΖ. μείζων δὲ ἡ ΛΔ τῆς ΔΗ· μείζων ἄρα καὶ ἡ ΛΗ τῆς ΗΖ. διὰ δὲ τὴν παραβολὴν ἴση ἡ ΛΜ τῇ ΜΖ· ὅπερ ἀδύνατον.

λγ'.

Ὑπερβολὴ ὑπερβολῆς τὸ αὐτὸ κέντρον ἔχουσα οὐκ ἐφάψεται κατὰ δύο σημεῖα.

ὑπερβολαὶ γὰρ αἱ ΑΗΒ, ΑΜΒ τὸ αὐτὸ κέντρον ἔχουσαι τὸ Δ, εἰ δυνατόν, ἐφαπτέσθωσαν κατὰ τὰ Α, Β, ἤχθωσαν δὲ ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι αὐτῶν καὶ συμπίπτουσαι ἀλλήλαις αἱ ΑΛ, ΛΒ, καὶ ἐπεζεύχθω ἡ ΔΛ καὶ ἐκβεβλήσθω.

---

16. ΔΗ (alt.)] ΔΠ V; corr. Memus; ΗΔ p.

uerum $Z\Delta > \Delta M$; quare etiam $ZM > M\Gamma$ [Eucl. V, 14]. sed propter parabolam est $ZH = H\Gamma$ [I, 35]; quod fieri non potest.

XXXII.

Parabola ellipsim uel arcum circuli non continget in duobus punctis intra eam cadens.

sit enim AHB ellipsis uel arcus circuli, parabola autem AMB, et, si fieri potest, in duobus punctis contingant A, B, ducanturque ab A, B rectae sectiones contingentes et in Γ concurrentes, et ducatur



AB seceturque in Z in duas partes aequales, et ducatur ΓZ; ea igitur utramque sectionem in alio atque alio puncto secabit, sicut diximus [prop. XXXI]. secet in H, M, et ΓZ ad Δ producatur, Δ autem centrum sit ellipsis uel circuli [II, 29]. itaque propter ellipsim circulumue erit [I, 37] $\Gamma\Delta : \Delta H = \Delta H : \Delta Z$ [Eucl. VI, 17] $= \Gamma H : HZ$ [Eucl. V, 17; V, 16]. uerum $\Gamma\Delta > \Delta H$; quare etiam $\Gamma H > HZ$ [Eucl. V, 14]. sed propter parabolam est $\Gamma M = MZ$ [I, 35]; quod fieri non potest.

XXXIII.

Hyperbola hyperbolam non continget in duobus punctis idem centrum habens.

ἐπεζεύχθω δὴ καὶ ἡ AB· ἡ ἄρα $\varDelta Z$ τὴν AB δίχα τέμνει κατὰ τὸ Z. τεμεῖ δὴ ἡ $\varDelta Z$ τὰς τομὰς κατὰ τὰ H, M. ἔσται δὴ διὰ μὲν τὴν AHB ὑπερβολὴν



ἴσον το ὑπὸ $Z\varDelta\varLambda$ τῷ ἀπο $\varDelta H$, διὰ δὲ την AMB τὸ ὑπὸ $Z\varDelta\varLambda$ ἴσον τῷ ἀπὸ $\varDelta M$. τὸ ἄρα ἀπὸ $M\varDelta$ ἴσον τῷ ἀπὸ $\varDelta H$· ὅπερ ἀδύνατον.

λδ'.

Ἐὰν ἔλλειψις ἐλλείψεως ἢ κύκλου περιφερείας κατὰ δύο σημεῖα ἐφάπτηται τὸ αὐτὸ κέντρον ἔχουσα, ἡ τὰς ἁφὰς ἐπιζευγνύουσα διὰ τοῦ κέντρου πεσεῖται.

ἐφαπτέσθωσαν γὰρ ἀλλήλων αἱ εἰρημέναι γραμμαὶ κατὰ τὰ A, B σημεῖα, καὶ ἐπεζεύχθω ἡ AB, καὶ διὰ τῶν A, B ἐφαπτόμεναι τῶν τομῶν ἤχθωσαν καί, εἰ δυνατόν, συμπιπτέτωσαν κατὰ τὸ $\varLambda$, καὶ ἡ AB δίχα τετμήσθω κατὰ τὸ Z, καὶ ἐπεζεύχθω ἡ $\varLambda Z$· διάμετρος ἄρα ἐστὶν ἡ $\varLambda Z$ τῶν τομῶν.

ἔστω, εἰ δυνατόν, κέντρον τὸ $\varDelta$· ἔσται ἄρα τὸ ὑπὸ $\varLambda\varDelta Z$ διὰ μὲν τὴν ἑτέραν τομὴν ἴσον τῷ ἀπὸ $\varDelta H$, διὰ δὲ τὴν ἑτέραν ἴσον τῷ ἀπὸ $M\varDelta$· ὥστε τὸ ἀπὸ $H\varDelta$ ἴσον τῷ ἀπὸ $\varDelta M$· ὅπερ ἀδύνατον. οὐκ ἄρα αἱ

1. δή] δέ? p. 4. τό] cvp; δὲ τό V, sed δέ del. m. 1. 5. $Z\varDelta\varLambda$] cv, corr. ex $ZM\varLambda$ m. 1 V. 18. $\varLambda\varDelta Z$] $\varDelta\varLambda Z$ V; $\varDelta\varLambda$, $\varLambda Z$ p; corr. Halley.

hyperbolae enim AHB, AMB idem centrum habentes Δ, si fieri potest, in A, B contingant, ducantur autem ab A, B eas contingentes et inter se concurrentes $A\Lambda$, ΛB, et ducatur $\Delta\Lambda$ producaturque.

iam uero etiam AB ducatur; ΔZ igitur rectam AB in Z in duas partes aequales secat [II, 30]. itaque ΔZ sectiones in H, M secabit [prop. XXVII —XXIX]. erit igitur [I, 37] propter hyperbolam AHB $Z\Delta \times \Delta\Lambda = \Delta H^2$, propter AMB autem
$$Z\Delta \times \Delta\Lambda = \Delta M^2.$$
ergo $M\Delta^2 = \Delta H^2$; quod fieri non potest.

XXXIV.

Si ellipsis ellipsim uel arcum circuli in duobus punctis contingit idem centrum habens, recta puncta contactus coniungens per centrum cadet.

nam lineae, quas diximus, inter se contingant in punctis A, B, ducaturque AB, per A, B autem rectae sectiones contingentes ducantur et, si fieri potest, in Λ concurrant, et AB in Z in duas partes aequales secetur, ducaturque ΛZ; ΛZ igitur diametrus est sectionum [II, 29].



sit Δ centrum, si fieri potest; itaque [I, 37] propter alteram sectionem erit $\Lambda\Delta \times \Delta Z = \Delta H^2$, propter alteram autem $\Lambda\Delta \times \Delta Z = M\Delta^2$. itaque $H\Delta^2 = \Delta M^2$; quod fieri non potest. rectae igitur ab A, B con-ἀπὸ τῶν A, B ἐφαπτόμεναι συμπεσοῦνται· παράλληλοι ἄρα εἰσίν, καὶ διὰ τοῦτο διάμετρός ἐστιν ἡ AB. ὥστε διὰ τοῦ κέντρου πίπτει· ὅπερ ἔδει δεῖξαι.

λε'.

Κώνου τομὴ ἢ κύκλου περιφέρεια κώνου τομῇ ἢ κύκλου περιφερείᾳ μὴ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κυρτὰ ἔχουσα οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ δύο.

εἰ γὰρ δυνατόν, κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ $AB\Gamma$ κώνου τομῇ ἢ κύκλου περιφερείᾳ τῇ $A\Delta BE\Gamma$ συμβαλλέτω κατὰ πλείονα σημεῖα ἢ δύο μὴ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κυρτὰ ἔχουσα τὰ A, B, Γ.

καὶ ἐπεὶ ἐν τῇ $AB\Gamma$ γραμμῇ εἴληπται τρία σημεῖα τὰ A, B, Γ καὶ ἐπεζευγμέναι αἱ AB, $B\Gamma$, γωνίαν ἄρα περιέχουσιν ἐπὶ τὰ αὐτὰ τοῖς κοίλοις τῆς $AB\Gamma$ γραμμῆς. διὰ τὰ αὐτὰ δὴ αἱ $AB\Gamma$ τὴν αὐτὴν γωνίαν περιέχουσιν ἐπὶ τὰ αὐτὰ τοῖς κοίλοις τῆς $A\Delta BE\Gamma$ γραμμῆς. αἱ εἰρημέναι ἄρα γραμμαὶ ἐπὶ τὰ αὐτα μέρη ἔχουσι τὰ κοῖλα ἅμα καὶ τὰ κυρτά· ὅπερ ἀδύνατον.

λϛ'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια συμπίπτῃ μιᾷ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα, καὶ αἱ μεταξὺ τῶν συμπτώσεων γραμμαὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχωσι, προσεκβαλλομένη ἡ γραμμὴ κατὰ τὰς συμπτώσεις οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τῶν ἀντικειμένων.

---

12. καὶ ἐπεὶ — $AB\Gamma$] addidi praeeunte Commandino; om. V; τῇ Halley. εἰλήφθω Halley. 13. ἐπεζεύχθωσαν Halley. p habet inde a lin. 11: ἔχουσα τῇ $A\Delta BE\Gamma$ γραμμῇ καὶ ἐπεζεύχθωσαν αἱ AB, $B\Gamma$. καὶ ἐπεὶ γραμμῆς τῆς $AB\Gamma$ εἴληπται τρία σημεῖα τὰ A, B, Γ καὶ ἐπεζευγμέναι εἰσὶ αἱ AB, $B\Gamma$, γωνιαν ἄρα κτλ. αἱ] p, om. V. 14. τοῖς] cvp, e corr.

tingentes non concurrent; quare parallelae sunt, et ideo AB diametrus est [II, 27]. ergo per centrum cadit; quod erat demonstrandum.

XXXV.

Coni sectio uel arcus circuli cum coni sectione uel arcu circuli non concurret in pluribus punctis quam in duobus conuexa ad easdem partes non habens.

nam si fieri potest, coni sectio uel arcus circuli $AB\Gamma$ cum coni sectione uel arcu circuli $A\Delta BE\Gamma$ concurrat in pluribus punctis quam in duobus A, B, Γ conuexa ad easdem partes non habens.



et quoniam in linea $AB\Gamma$ sumpta sunt tria puncta A, B, Γ et ductae AB, $B\Gamma$, hae ad easdem partes, ad quas sunt concaua lineae $AB\Gamma$, angulum comprehendunt. iam eadem de causa AB, $B\Gamma$ eundem angulum comprehendunt ad easdem partes, ad quas sunt concaua lineae $A\Delta BE\Gamma$. itaque lineae, quas diximus, concaua ad easdem partes habent et ideo etiam conuexa; quod fieri non potest.

XXXVI.

Si coni sectio uel arcus circuli cum altera oppositarum in duobus punctis concurrit, et lineae inter puncta concursus positae ad easdem partes concaua habent, linea per puncta concursus producta cum altera oppositarum non concurret.

---

m. 1 V. 15. AB, $B\Gamma$ Halley cum Memo. 18. ἅμα] scripsi, ἀλλά V. 24. ἔχωσι] p, ἔχουσι V.

ἔστωσαν ἀντικείμεναι αἱ *Δ*, *ΑΕΓΖ*, καὶ ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒΖ* συμπίπτουσα τῇ ἑτέρᾳ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα τὰ *Α*, *Ζ*, καὶ ἐχέτωσαν αἱ *ΑΒΖ*, *ΑΓΖ* τομαὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα. λέγω, ὅτι ἡ *ΑΒΖ* γραμμὴ ἐκβαλλομένη οὐ συμπεσεῖται τῇ *Δ*.



ἐπεζεύχθω γὰρ ἡ *ΑΖ*. καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ *Δ*, *ΑΓΖ*, καὶ ἡ *ΑΖ* εὐθεῖα κατὰ δύο τέμνει τὴν ὑπερβολήν, οὐ συμπεσεῖται ἐκβαλλομένη τῇ *Δ* ἀντικειμένῃ. οὐδὲ ἄρα ἡ *ΑΒΖ* γραμμὴ συμπεσεῖται τῇ *Δ*.

λζʹ.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια μιᾷ τῶν ἀντικειμένων συμπίπτῃ, τῇ λοιπῇ αὐτῶν οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ δύο.

ἔστωσαν ἀντικείμεναι αἱ *Α*, *Β*, καὶ συμβαλλέτω τῇ *Α* κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒΓ* καὶ τεμνέτω τὴν *Β* ἀντικειμένην κατὰ τὰ *Β*, *Γ*. λέγω, ὅτι κατ' ἄλλο σημεῖον οὐ συμπεσεῖται τῇ *ΒΓ*.

εἰ γὰρ δυνατόν, συμπιπτέτω κατὰ τὸ *Δ*. ἡ ἄρα *ΒΓΔ* τῇ *ΒΓ* τομῇ συμβάλλει κατὰ πλείονα σημεῖα ἢ δύο μὴ ἐπὶ τὰ αὐτὰ ἔχουσα τὰ κοῖλα· ὅπερ ἀδύνατον.

ὁμοίως δὲ δειχθήσεται, καὶ ἐὰν ἡ *ΑΒΓ* γραμμὴ τῆς ἀντικειμένης ἐφάπτηται.

---

15. μιᾷ] p, om. V. 19. *Α*] p, del. punctis V; *Κ* c, om. v. 20. τὴν *Β*] τῇ *ΝΒ* V; τὴν *ΒΓ* p; corr. Memus. 24. μή] om. Vp; corr. Memus.

sint oppositae sectiones *Δ*, *AEΓZ*, sitque *ABZ* coni sectio uel arcus circuli cum altera oppositarum concurrens in duobus punctis *A*, *Z*, et *ABZ*, *AΓZ* sectiones concaua ad easdem partes habeant. dico, lineam *ABZ* productam cum *Δ* non concurrere.

ducatur enim *AZ*. et quoniam *Δ*, *AΓZ* oppositae sunt, et recta *AZ* in duobus punctis hyperbolam secat, producta cum opposita *Δ* non concurret [II, 33]. ergo ne linea *ABZ* quidem cum *Δ* concurret.

XXXVII.

Si coni sectio uel arcus circuli cum altera oppositarum concurrit, cum reliqua earum non concurret in pluribus punctis quam in duobus.



sint oppositae *A*, *B*, et cum *A* concurrat coni sectio uel arcus circuli *ABΓ* secetque oppositam *B* in *B*, *Γ*. dico, eam cum *BΓ* in nullo alio puncto concurrere.

nam si fieri potest, concurrat in *Δ*. *BΓΔ* igitur cum sectione *BΓ* in pluribus punctis quam in duobus concurrit concaua ad easdem partes non habens [prop. XXXVI]; quod fieri non potest [prop. XXXV].

similiter autem demonstrabimus, etiam si linea *ABΓ* oppositam contingit.

λη'.

Κώνου τομὴ ἢ κύκλου περιφέρεια ταῖς ἀντικειμέναις οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ τέσσαρα.

φανερὸν δὲ τοῦτο ἐκ τοῦ τῇ μιᾷ τῶν ἀντικειμένων συμπίπτουσαν αὐτὴν τῇ λοιπῇ κατὰ πλείονα δυεῖν μὴ συμπίπτειν.

λθ'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια μιᾶς τῶν ἀντικειμένων ἐφάπτηται τοῖς κοίλοις αὐτῆς, τῇ ἑτέρᾳ τῶν ἀντικειμένων οὐ συμπεσεῖται.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ τῆς Α τομῆς ἐφαπτέσθω ἡ ΓΑΔ. λέγω, ὅτι ἡ ΓΑΔ τῇ Β οὐ συμπεσεῖται.

ἤχθω ἀπὸ τοῦ Α ἐφαπτομένη ἡ ΕΑΖ. ἑκατέρας δὴ τῶν γραμμῶν ἐπιψαύει κατὰ τὸ Α· ὥστε οὐ συμπεσεῖται τῇ Β. ὥστε οὐδὲ ἡ ΓΑΔ.

μ'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια ἑκατέρας τῶν ἀντικειμένων καθ' ἓν ἐφάπτηται σημεῖον, καθ' ἕτερον οὐ συμπεσεῖται ταῖς ἀντικειμέναις.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἐφαπτέσθω ἑκατέρας τῶν Α, Β κατὰ τὰ Α, Β. λέγω, ὅτι ἡ ΑΒΓ γραμμὴ καθ' ἕτερον οὐ συμπεσεῖται ταῖς Α, Β τομαῖς.

ἐπεὶ οὖν ἡ ΑΒΓ γραμμὴ τῆς Α τομῆς ἐφάπτεται καθ' ἓν συμπίπτουσα καὶ τῇ Β, τῆς Α ἄρα τομῆς οὐκ

---

5. *δυοῖν* p. 14. ΕΑΖ] p, *ΑΕΖ* V. 16. *ΓΑΔ*] p, *ΑΓΔ* V. 24. *Β*] p, *Γ* V.

XXXVIII.

Coni sectio uel arcus circuli cum oppositis in pluribus punctis non concurrit quam in quattuor.

hoc autem manifestum est inde, quod cum altera oppositarum concurrens cum reliqua in pluribus punctis quam in duobus non concurrit [prop. XXXVII].

XXXIX.

Si coni sectio uel arcus circuli alteram oppositarum in parte concaua contingit, cum altera oppositarum non concurret.



sint oppositae A, B, et sectionem A contingat $\Gamma A \Delta$. dico, $\Gamma A \Delta$ cum B non concurrere.

ab A contingens ducatur EAZ. ea igitur utramque lineam in A contingit; quare cum B non concurret. ergo ne $\Gamma A \Delta$ quidem.

XL.

Si coni sectio uel arcus circuli utramque oppositam in singulis punctis contingit, in nullo alio puncto cum oppositis concurret.

sint oppositae A, B, et coni sectio uel arcus circuli utramque A, B contingat in A, B. dico, lineam $AB\Gamma$ in nullo alio puncto cum sectionibus A, B concurrere.

quoniam igitur linea $AB\Gamma$ sectionem A contingit etiam cum B in uno puncto concurrens, sectionem A

ἐφάψεται κατὰ τὰ κοῖλα. ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ τῆς B. ἤχθωσαν τῶν A, B τομῶν ἐφαπτόμεναι αἱ $A\Delta$, BE· αὗται δὴ ἐφάψονται τῆς $AB\Gamma$ γραμμῆς. εἰ γὰρ δυνατόν, τεμνέτω ἡ ἑτέρα αὐτῶν, καὶ ἔστω ἡ AZ. μεταξὺ ἄρα τῆς AZ ἐφαπτομένης καὶ τῆς A τομῆς παρεμπέπτωκεν εὐθεῖα ἡ AH· ὅπερ ἀδύνατον. ἐφάψονται ἄρα τῆς $AB\Gamma$, καὶ διὰ τοῦτο φανερόν, ὅτι ἡ $AB\Gamma$ καθ' ἕτερον οὐ συμβάλλει ταῖς A, B ἀντικειμέναις.

μα'.

Ἐὰν ὑπερβολὴ μιᾷ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα συμπίπτῃ ἀντεστραμμένα τὰ κυρτὰ ἔχουσα, ἡ ἀντικειμένη αὐτῇ οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τῶν ἀντικειμένων.

ἔστωσαν ἀντικείμεναι αἱ $AB\Delta$, Z, καὶ ὑπερβολὴ ἡ $AB\Gamma$ τῇ $AB\Delta$ συμβαλλέτω κατὰ τὰ A, B σημεῖα ἀντεστραμμένα ἔχουσα τὰ κυρτὰ τοῖς κοίλοις, καὶ τῆς $AB\Gamma$ ἔστω ἀντικειμένη ἡ E. λέγω, ὅτι οὐ συμπεσεῖται τῇ Z.



ἐπεζεύχθω ἡ AB καὶ ἐκβεβλήσθω ἐπὶ τὸ H. ἐπεὶ οὖν ὑπερβολὴν τὴν $AB\Delta$ εὐθεῖα τέμνει ἡ ABH, ἐκβαλλομένη δὲ ἐφ' ἑκάτερα ἐκτὸς πίπτει τῆς τομῆς, οὐ συμπεσεῖται τῇ Z τομῇ. ὁμοίως δὴ

5. Post AZ add. Vp: ὅπως (om. p) καὶ φανερόν, ὅτι, ἐὰν ἡ $\Gamma A\Delta$ γραμμὴ συμπίπτῃ καὶ τῇ B ἀντικειμένῃ, οὐκ ἐφάψεται τῆς A τοῖς κοίλοις ἑαυτῆς (αὐτῆς p)· δειχθήσεται γὰρ ἀντιστρόφως (ἡ $\Gamma A\Delta$ γραμμὴ om. p addito λείπει), quae omisi cum Commandino; post ἀντικειμέναις lin. 8 transposuit Halley

in parte concaua non continget [prop. XXXIX]. iam eodem modo demonstrabimus, eam ne B quidem ita



contingere. ducantur $A\Delta$, BE sectiones A, B contingentes; eae igitur lineam $AB\Gamma$ contingent. nam si fieri potest, altera secet et sit AZ. itaque inter AZ contingentem et sectionem A recta incidit AH; quod fieri non potest [I, 36]. ergo $AB\Gamma$ contingent, et ideo manifestum est, $AB\Gamma$ cum oppositis A, B in nullo alio puncto concurrere.

XLI.

Si hyperbola cum altera oppositarum in duobus punctis concurrit conuexa habens aduersa, sectio ei opposita cum altera oppositarum non concurret.

sint oppositae $AB\Delta$, Z, et hyperbola $AB\Gamma$ cum $AB\Delta$ in punctis A, B concurrat conuexa concauis aduersa habens, et sectioni $AB\Gamma$ opposita sit E. dico, hanc cum Z non concurrere.

ducatur AB et ad H producatur. quoniam igitur recta ABH hyperbolam $AB\Delta$ secat, et in utramque partem producta extra sectionem cadit, cum Z sectione non concurret [II, 33]. similiter igitur propter

(ὅπως] οὕτως, $\Gamma A\Delta$] ΓAB, καί] om., δὲ ἀντιστρόφως τῇ λε').
6. AH] p, H V. 11. ὑπερβολή] p, ὑπερβολῇ V. 16. $AB\Gamma$] p, AB V. $AB\Delta$] p, $A\Delta$ V. 19. τῆς] τῇ p 26. οὐ] scripsi; ὥστε οὐ V, οὐκ ἄρα p; possis etiam cum Commandino δέ lin. 25 delere aut in δή corrigere („utique" Memus).

διὰ τὴν ΑΒΓ ὑπερβολὴν οὐδὲ τῇ Ε ἀντικειμένῃ συμπίπτει. οὐδὲ ἡ Ε ἄρα τῇ Ζ συμπεσεῖται.

μβ'.

Ἐὰν ὑπερβολὴ ἑκατέρᾳ τῶν ἀντικειμένων συμπίπτῃ, ἡ ἀντικειμένη αὐτῇ οὐδετέρᾳ τῶν ἀντικειμένων συμπεσεῖται κατὰ δύο σημεῖα.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ ἡ ΑΓΒ ὑπερβολὴ συμπιπτέτω ἑκατέρᾳ τῶν Α, Β ἀντικειμένων. λέγω, ὅτι ἡ τῇ ΑΓΒ ἀντικειμένη οὐ συμβάλλει ταῖς Α, Β τομαῖς κατὰ δύο σημεῖα.

εἰ γὰρ δυνατόν, συμβαλλέτω κατὰ τὰ Δ, Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω. διὰ μὲν δὴ τὴν ΔΕ τομὴν οὐ συμπεσεῖται ἡ ΔΕ εὐθεῖα τῇ ΑΒ τομῇ, διὰ δὲ τὴν ΑΕΔ οὐ συμπεσεῖται τῇ Β· διὰ γὰρ τῶν τριῶν τόπων ἐλεύσεται· ὅπερ ἀδύνατον. ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ τῇ Β τομῇ κατὰ δύο σημεῖα συμπεσεῖται.

διὰ τὰ αὐτὰ δὴ οὐδὲ ἐφάψεται ἑκατέρας αὐτῶν. ἀγαγόντες γὰρ ἐπιψαύουσαν τὴν ΘΕ ἐφάπτεται μὲν αὕτη ἑκατέρας τῶν τομῶν· ὥστε διὰ μὲν τὴν ΔΕ οὐ συμπεσεῖται τῇ ΑΓ, διὰ δὲ τὴν ΑΕ οὐ συμβάλλει τῇ Β. ὥστε οὐδὲ ἡ ΑΓ τῇ Β συμβάλλει· ὅπερ οὐχ ὑπόκειται.

μγ'.

Ἐὰν ὑπερβολὴ ἑκατέραν τῶν ἀντικειμένων τέμνῃ κατὰ δύο σημεῖα ἀντεστραμμένα ἔχουσα πρὸς ἑκατέραν

---

2. Ζ] p, om. lacuna 8 litt. relicta V. 9. *ΑΓΒ*] corr. ex *ΑΒ* m. 1 p, *ΑΒ* V. 11. *τά*] cp, om. V. 13. *ΔΕ* (pr.)] cvp et renouat. m. rec. V. 19. *μέν*] delendum? 20. *αὕτη*] *αὐτή* Vp.

hyperbolam $AB\Gamma$ ne cum E quidem opposita concurrit. ergo ne E quidem cum Z concurret.

XLII.

Si hyperbola cum utraque opposita concurrit, sectio ei opposita cum neutra oppositarum in duobus punctis concurret.

δοθέντος σημείου εὐθεῖαν γραμμὴν ἀγαγεῖν τέμνουσαν ἀπὸ τῶν δοθεισῶν θέσει δύο εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῶν δοθεῖσι σημείοις χωρίον περιεχούσας ἴσον τῷ δοθέντι. καὶ αὕτη δὲ διὰ τὰς αὐτὰς αἰτίας τὸ πλῆθος ἔσχηκε τῶν γραφομένων. ἔχει δὲ τὸ μὲν α' βιβλίον χωρίον ἀποτομῆς τόπους $\overline{ζ}$, πτώσεις $\overline{κδ}$, διορισμοὺς $\overline{ζ}$, ὧν $\overline{δ}$ μὲν μέγιστοι, τρεῖς δὲ ἐλάχιστοι, καί ἐστι μέγιστος μὲν κατὰ τὴν δευτέραν πτῶσιν τοῦ πρώτου τόπου καὶ ὁ κατὰ τὴν πρώτην πτῶσιν τοῦ β' τόπου καὶ ὁ κατὰ τὴν β' τοῦ δ' καὶ ὁ κατὰ τὴν τρίτην τοῦ ϛ' τόπου, ἐλάχιστος δὲ ὁ κατὰ τὴν τρίτην πτῶσιν τοῦ τρίτου τόπου καὶ ὁ κατὰ τὴν δ' τοῦ δ' τόπου καὶ ὁ κατὰ τὴν πρώτην τοῦ ἕκτου τόπου. τὸ δὲ δεύτερον βιβλίον τῶν χωρίου ἀποτομῆς ἔχει τόπους $\overline{ιγ}$, πτώσεις δὲ $\overline{ξ}$, διορισμοὺς δὲ τοὺς ἐκ τοῦ πρώτου· ἀπάγεται γὰρ εἰς αὐτό.

Θεωρήματα δὲ ἔχει τὸ μὲν πρῶτον βιβλίον $\overline{μη}$, τὸ δὲ δεύτερον $\overline{οϛ}$.

14. Pappus VII, 232 p. 918, 9 sq.:

(problema hoc est: dato $B\Gamma$ a dato E rectam EZ ita ducere, ut fiat $Z\Gamma H = B\Gamma$)



Δοθὲν ἄρα καὶ τὸ ὑπὸ $Z\Gamma H$· καὶ δοθέντος τοῦ E εἰς θέσει τὰς $A\Gamma$, $\Gamma\Delta$ διῆκται εἰς χωρίου ἀποτομήν· θέσει ἄρα ἐστὶν ἡ EZ.

15. Pappus VII, 67 p. 702, 28 sq.:

Ἐπιστήσειεν ἄν τις, διὰ τί ποτε μὲν τὸ λόγου ἀπο-

---

5 sq. repetuntur paucis mutatis Papp. VII, 66 p. 702. 8. ὁ κατά p. 702, 21. 9. β'] Halley, δ' codd. 15. $\overline{ξ}$] Halley, $\overline{ζ}$ codd. 24. καί] καὶ ἀπό Hultsch. 25. εἰς] ἡ EZ εἰς Hultsch.

τομῆς δεύτερον ἔχει τόπους ιδ̅, τὸ δὲ τοῦ χωρίου ιγ̅. ἔχει δὲ διὰ τόδε, ὅτι ὁ ζʹ ἐν τῷ τοῦ χωρίου ἀποτομῆς τόπος παραλείπεται ὡς φανερός· ἐὰν γὰρ αἱ παράλληλοι ἀμφότεραι ἐπὶ τὰ πέρατα πίπτωσιν, οἷα ἂν διαχθῇ, δοθὲν ἀποτέμνει χωρίον· ἴσον γὰρ γίνεται τῷ ὑπὸ τῶν μεταξὺ τῶν περάτων καὶ τῆς ἀμφοτέρων τῶν ἐξ ἀρχῆς τῇ θέσει δοθεισῶν εὐθειῶν συμβολῆς. ἐν δὲ τῷ λόγου ἀποτομῆς οὐκέτι ὁμοίως. διὰ τοῦτο οὖν προέχει τόπον ἕνα εἰς τὸ ἕβδομον τοῦ δευτέρου, καὶ τὰ λοιπὰ ὄντα τὰ αὐτά.

De sectione determinata.

16. Pappus VII, 9 p. 642, 19 sq.:

Ἑξῆς τούτοις ἀναδέδονται τῆς διωρισμένης τομῆς βιβλία β̅, ὧν ὁμοίως τοῖς πρότερον μίαν πρότασιν πάρεστιν λέγειν, διεζευγμένην δὲ ταύτην· τὴν δοθεῖσαν ἄπειρον εὐθεῖαν ἑνὶ σημείῳ τεμεῖν, ὥστε τῶν ἀπολαμβανομένων εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῆς δοθεῖσι σημείοις ἤτοι τὸ ἀπὸ μιᾶς τετράγωνον ἢ τὸ ὑπὸ δύο ἀπολαμβανομένων περιεχόμενον ὀρθογώνιον δοθέντα λόγον ἔχειν ἤτοι πρὸς τὸ ἀπὸ μιᾶς τετράγωνον ἢ πρὸς τὸ ὑπὸ μιᾶς ἀπολαμβανομένης καὶ τῆς ἔξω δοθείσης ἢ πρὸς τὸ ὑπὸ δύο ἀπολαμβανομένων περιεχόμενον ὀρθογώνιον, ἐφ' ὁπότερα χρὴ τῶν δοθέντων σημείων. καὶ ταύτης ἅτε δὶς διεζευγμένης καὶ περισκελεῖς διορισμοὺς ἐχούσης διὰ πλειόνων ἡ δεῖξις γέγονεν ἐξ ἀνάγκης.

---

2. τοῦ] del. Hultsch. 10. αὐτά] coni. Hultsch, ὄντα codd. Deinde lacuna uidetur esse (uelut τὸ προτέρημα διατηρεῖ). 13. ἑξῆς δέ Hultsch cum al. ἀναδέδοται Hultsch. 20. τετράγωνον — 21. μιᾶς] Hultsch cum Simsono, om. codd. 23. ὁπότερ' ἂν χρῇ Hultsch.

δείκνυσι δὲ ταύτην Ἀπολλώνιος μὲν πάλιν ἐπὶ ψιλῶν τῶν εὐθειῶν τριβακώτερον πειρώμενος, καθάπερ καὶ ἐπὶ τοῦ δευτέρου βιβλίου τῶν πρώτων στοιχείων Εὐκλείδου, καὶ [ταύτην] πάλιν εἰσαγωγικώτερον ἐπαναγράφων δείξαντος καὶ εὐφυῶς διὰ τῶν ἡμικυκλίων· ἔχει δὲ τὸ μὲν πρῶτον βιβλίον προβλήματα ς̅, ἐπιτάγματα ι̅ς̅, διορισμοὺς ε̅, ὧν μεγίστους μὲν δ̅, ἐλάχιστον δὲ ἕνα· καί εἰσιν μέγιστοι μὲν ὅ τε κατὰ τὸ δεύτερον ἐπίταγμα τοῦ δευτέρου προβλήματος καὶ ὁ κατὰ τὸ γʹ τοῦ δʹ προβλήματος καὶ ὁ κατὰ τὸ τρίτον τοῦ εʹ καὶ ὁ κατὰ τὸ τρίτον τοῦ ἕκτου, ἐλάχιστος δὲ ὁ κατὰ τὸ τρίτον ἐπίταγμα τοῦ τρίτου προβλήματος. τὸ δὲ δεύτερον διωρισμένης τομῆς ἔχει προβλήματα τρία, ἐπιτάγματα θ̅, διορισμοὺς γ̅, ὧν εἰσιν ἐλάχιστοι μὲν δύο, μέγιστος δὲ α̅, καί εἰσιν ἐλάχιστοι μὲν ὅ τε κατὰ τὸ τρίτον τοῦ πρώτου καὶ ὁ κατὰ τὸ τρίτον τοῦ δευτέρου, μέγιστος δὲ ὁ κατὰ τὸ τρίτον τοῦ τρίτου προβλήματος.

Λήμματα δὲ ἔχει τὸ μὲν πρῶτον βιβλίον κ̅ζ̅, τὸ δὲ δεύτερον κ̅δ̅, θεωρημάτων δέ ἐστιν τὰ δύο βιβλία διωρισμένης τομῆς π̅γ̅.

17. Pappus VII, 142 p. 798, 11 sq.:



Ἀπῆκται ἄρα εἰς διωρισμένης· δεδομένων τριῶν εὐθειῶν τῶν ΘΔ, ΔΚ, Λ τεμεῖν τὴν ΔΚ κατὰ τὸ Η καὶ ποιεῖν λόγον τοῦ ὑπὸ ΘΗΚ πρὸς τὸ ὑπὸ Λ, ΗΔ ἴσου πρὸς ἴσον.

1. *δείκνυσι* — 5. *ἡμικυκλίων*] interpolatori tribuit Hultsch. 1. *μὲν πάλιν*] corrupta, om. Halley. 4. *ταύτην*] deleo. 5. *δείξαντος*] corruptum, *δείξας τε* Halley; fort. *δεξιῶς τε.* 6 sq. rep. Pappus VII, 119 p. 770. 11. *τοῦ ἕκτου* — 12. *τρίτον*] e VII, 119 add. Halley, om. codd. 14. *εἰσιν* — 15. *καί*] addidi e p. 770, 19 (ubi tamen *εἰσιν* om.); p. 644, 16 om. codd. 22. *διωρισμένης*] *διωρισμένην* Commandinus, *διωρισμένης αʹ* Hultsch.

Eadem propositio significatur a Pappo VII, 143 p. 802, 8: *ἐν γὰρ τῇ διωρισμένῃ δέδεικται μεῖζον* et VII, 144 p. 804, 13: *ἐν δὲ τῇ διωρισμένῃ μεῖζον ἔσται τὸ ὑπὸ ΘΗΚ τοῦ ὑπὸ ΘΤΚ.*

De tactionibus.

18. Pappus VII, 11 p. 644, 23 sq.:

Ἑξῆς δὲ τούτοις τῶν ἐπαφῶν ἐστιν βιβλία δύο. προτάσεις δὲ ἐν αὐτοῖς δοκοῦσιν εἶναι πλείονες, ἀλλὰ καὶ τούτων μίαν τίθεμεν οὕτως ἔχουσαν ἑξῆς· σημείων καὶ εὐθειῶν καὶ κύκλων τριῶν ὁποιωνοῦν θέσει δοθέντων κύκλον ἀγαγεῖν δι' ἑκάστου τῶν δοθέντων σημείων, εἰ δοθείη, ἢ ἐφαπτόμενον ἑκάστης τῶν δοθεισῶν γραμμῶν. ταύτης διὰ πλήθη τῶν ἐν ταῖς ὑποθέσεσι δεδομένων ὁμοίων ἢ ἀνομοίων κατὰ μέρος διαφόρους προτάσεις ἀναγκαῖον γίνεσθαι δέκα· ἐκ τῶν τριῶν γὰρ ἀνομοίων γενῶν τριάδες διάφοροι ἄτακτοι γίνονται ῑ. ἤτοι γὰρ τὰ διδόμενα τρία σημεῖα ἢ τρεῖς εὐθεῖαι ἢ δύο σημεῖα καὶ εὐθεῖα ἢ δύο εὐθεῖαι καὶ σημεῖον ἢ δύο σημεῖα καὶ κύκλος ἢ δύο κύκλοι καὶ σημεῖον ἢ δύο εὐθεῖαι καὶ κύκλος ἢ δύο κύκλοι καὶ εὐθεῖα ἢ σημεῖον καὶ εὐθεῖα καὶ κύκλος ἢ τρεῖς κύκλοι. τούτων δύο μὲν τὰ πρῶτα δέδεικται ἐν τῷ δ' βιβλίῳ τῶν πρώτων στοιχείων, διὸ παρίει μὴ γράφων· τὸ μὲν γὰρ τριῶν δοθέντων σημείων μὴ ἐπ' εὐθείας ὄντων τὸ αὐτό ἐστιν τῷ περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι, τὸ δὲ γ̄ δοθεισῶν εὐθειῶν μὴ παραλλή-

---

9. *ἔχουσαν· ἑξῆς* Hultsch („*ἑξῆς* abundare videtur" adn.). 12. *ἢ*] addidi. 17. *τά*] del. Hultsch. *δεδομένα* Hultsch cum aliis. 23. *διὸ παρίει μὴ γράφων*] scripsi, *ὁπερημεν γράφων* codd., *ὃ παρεῖμεν γράφειν* Hultsch (sed necessario Apollonius, non Pappus, hos duos casus omisit).

λων οὐσῶν, ἀλλὰ τῶν τριῶν συμπιπτουσῶν, τὸ αὐτό ἐστιν τῷ εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγγράψαι· τὸ δὲ δύο παραλλήλων οὐσῶν καὶ μιᾶς ἐμπιπτούσης ὡς μέρος ὂν τῆς β′ ὑποδιαιρέσεως προγράφεται ἐν τούτοις πάντων. καὶ τὰ ἑξῆς ϛ̅ ἐν τῷ πρώτῳ βιβλίῳ, τὰ δὲ λειπόμενα δύο, τὸ δύο δοθεισῶν εὐθειῶν καὶ κύκλου ἢ τριῶν δοθέντων κύκλων μόνον ἐν τῷ δευτέρῳ βιβλίῳ διὰ τὰς πρὸς ἀλλήλους θέσεις τῶν κύκλων τε καὶ εὐθειῶν πλείονας οὔσας καὶ πλειόνων διορισμῶν δεομένας.

19. Pappus VII, 12 p. 648, 14 sq.:

Ἔχει δὲ τὸ πρῶτον τῶν ἐπαφῶν προβλήματα ζ̅, τὸ δὲ δεύτερον προβλήματα δ̅. λήμματα δὲ ἔχει τὰ δύο βιβλία κα̅, αὐτὰ δὲ θεωρημάτων ἐστὶν ξ̅.

Pappus VII, 184 p. 852, 13: *τὸ πρῶτον τῶν ἐπαφῶν προβλήματα ἑπτά, τὸ δεύτερον προβλήματα δ̅.*

De inclinationibus.

20. Pappus VII, 27 p. 670, 3 sq.:

Νεύσεων δύο.

Προβλήματος δὲ ὄντος καθολικοῦ τούτου· δύο δοθεισῶν γραμμῶν θέσει θεῖναι μεταξὺ τούτων εὐθεῖαν τῷ μεγέθει δεδομένην νεύουσαν ἐπὶ δοθὲν σημεῖον, ἐπὶ τούτου τῶν ἐπὶ μέρους διάφορα τὰ ὑποκείμενα ἐχόντων, ἃ μὲν ἦν ἐπίπεδα, ἃ δὲ στερεά, ἃ

---

3. *δέ*] scripsi (respondet ad *μέν* p. 112, 22), *γάρ* codd. (ab hac igitur propositione incepit liber I Apollonii). 4. *ὂν τῆς*] Halley, *ὄντος τοῦ* codd., *ὂν τῆς τοῦ* Hultsch cum aliis. *β′*] Halley, ϛ̅ codd. 16. *ἔχει προβλήματα* Hultsch. 23. *τούτου*] Horsley, *ταύτης* codd. 24. *ἦν*] del. Hultsch.

δὲ γραμμικά, τῶν δ' ἐπιπέδων ἀποκληρώσαντες τὰ πρὸς πολλὰ χρησιμώτερα ἔδειξαν τὰ προβλήματα ταῦτα·

θέσει δεδομένων ἡμικυκλίου τε καὶ εὐθείας πρὸς ὀρθὰς τῇ βάσει ἢ δύο ἡμικυκλίων ἐπ' εὐθείας ἐχόντων τὰς βάσεις θεῖναι δοθεῖσαν τῷ μεγέθει εὐθεῖαν μεταξὺ τῶν δύο γραμμῶν νεύουσαν ἐπὶ γωνίαν ἡμικυκλίου·

καὶ ῥόμβου δοθέντος καὶ ἐπεκβεβλημένης μιᾶς πλευρᾶς ἁρμόσαι ὑπὸ τὴν ἐκτὸς γωνίαν δεδομένην τῷ μεγέθει εὐθεῖαν νεύουσαν ἐπὶ τὴν ἀντικρὺς γωνίαν·

καὶ θέσει δοθέντος κύκλου ἐναρμόσαι εὐθεῖαν μεγέθει δεδομένην νεύουσαν ἐπὶ δοθέν.

τούτων δὲ ἐν μὲν τῷ πρώτῳ τεύχει δέδεικται τὸ ἐπὶ τοῦ ἑνὸς ἡμικυκλίου καὶ εὐθείας ἔχον πτώσεις $\overline{\delta}$ καὶ τὸ ἐπὶ τοῦ κύκλου ἔχον πτώσεις δύο καὶ τὸ ἐπὶ τοῦ ῥόμβου πτώσεις ἔχον $\overline{\beta}$, ἐν δὲ τῷ δευτέρῳ τεύχει τὸ ἐπὶ τῶν δύο ἡμικυκλίων τῆς ὑποθέσεως πτώσεις ἐχούσης $\overline{\iota}$, ἐν δὲ ταύταις ὑποδιαιρέσεις πλείονες διοριστικαὶ ἕνεκα τοῦ δεδομένου μεγέθους τῆς εὐθείας.

21. Pappus VII, 29 p. 672, 15:

Ἔχει δὲ τὰ τῶν νεύσεων βιβλία δύο θεωρήματα μὲν ἤτοι διαγράμματα $\overline{\rho\kappa\epsilon}$, λήμματα δὲ $\overline{\lambda\eta}$.

Pappus VII, 157 p. 820, 18 sq.:

Τὸ πρῶτον τῶν νεύσεων ἔχει προβλήματα $\overline{\vartheta}$, διορισμοὺς τρεῖς, καί εἰσιν οἱ τρεῖς ἐλάσσονες, ὅ τε κατὰ τὸ πέμπτον καὶ ὁ κατὰ τὸ ζ' πρόβλημα καὶ ὁ κατὰ τὸ θ'. τὸ δεύτερον νεύσεων ἔχει προβλήματα $\overline{\mu\epsilon}$,

---

1. *τῶν δ'*] Halley, *τῶν* codd.; fort. *καὶ τῶν*. 22. **δύο** *βιβλία* coni. Hultsch.

διορισμοὺς τρεῖς τόν τε κατὰ τὸ ιζʹ πρόβλημα καὶ τὸν κατὰ τὸ ιθʹ καὶ τὸν κατὰ τὸ κγʹ· καί εἰσιν οἱ τρεῖς ἐλάσσονες. Cfr. frag. 51.

De locis planis.

22. Pappus VII, 21 p. 660, 17 sq.:

Τόπων ἐπιπέδων δύο.

Τῶν τόπων καθόλου οἱ μέν εἰσιν ἐφεκτικοί, οὓς καὶ Ἀπολλώνιος πρὸ τῶν ἰδίων στοιχείων λέγει, σημείου μὲν τόπον σημεῖον, γραμμῆς δὲ τόπον γραμμήν, ἐπιφανείας δὲ ἐπιφάνειαν, στερεοῦ δὲ στερεόν, οἱ δὲ διεξοδικοί, ὡς σημείου μὲν γραμμή, γραμμῆς δʼ ἐπιφάνεια, ἐπιφανείας δὲ στερεόν, οἱ δὲ ἀναστροφικοί, ὡς σημείου μὲν ἐπιφάνεια, γραμμῆς δὲ στερεόν.

23. Pappus VII, 23 p. 662, 19 sq.:

Οἱ μὲν οὖν ἀρχαῖοι εἰς τὴν τῶν ἐπιπέδων τούτων τόπων τάξιν ἀποβλέποντες ἐστοιχείωσαν· ἧς ἀμελήσαντες οἱ μετʼ αὐτοὺς προσέθηκαν ἑτέρους, ὡς οὐκ ἀπείρων τὸ πλῆθος ὄντων, εἰ θέλοι τις προσγράφειν οὐ τῆς τάξεως ἐκείνης ἐχόμενα. θήσω οὖν τὰ μὲν προσκείμενα ὕστερα, τὰ δʼ ἐκ τῆς τάξεως πρότερα μιᾷ περιλαβὼν προτάσει ταύτῃ·

ἐὰν δύο εὐθεῖαι ἀχθῶσιν ἤτοι ἀπὸ ἑνὸς δεδομένου σημείου ἢ ἀπὸ δύο καὶ ἤτοι ἐπʼ εὐθείας ἢ παράλληλοι ἢ δεδομένην περιέχουσαι γωνίαν καὶ ἤτοι λόγον ἔχουσαι πρὸς ἀλλήλας ἢ χωρίον περιέχουσαι δεδομένον,

---

7. *οὓς*] *ὡς* Hultsch. 9. *γραμμή* codd. 10. *ἐπιφάνεια* codd. 11. *γραμμή*] scripsi, *γραμμήν* codd. *ἐπιφάνεια*] scripsi, *ἐπιφάνειαν* codd. 13. *ἐπιφάνεια*] scripsi, *ἐπιφάνειαν* codd. 15. *τούτων*] del. Hultsch. 19. *οὐ*] *τὰ* Hultsch.

ἅπτηται δὲ τὸ τῆς μιᾶς πέρας ἐπιπέδου τόπου θέσει δεδομένου, ἅψεται καὶ τὸ τῆς ἑτέρας πέρας ἐπιπέδου τόπου θέσει δεδομένου ὁτὲ μὲν τοῦ ὁμογενοῦς, ὁτὲ δὲ τοῦ ἑτέρου, καὶ ὁτὲ μὲν ὁμοίως κειμένου πρὸς τὴν εὐθεῖαν, ὁτὲ δὲ ἐναντίως. ταῦτα δὲ γίνεται παρὰ τὰς διαφορὰς τῶν ὑποκειμένων.

24. Pappus VII, 26 p. 666, 14 sq.:

Τὸ δὲ δεύτερον βιβλίον περιέχει τάδε·

ἐὰν ἀπὸ δύο δεδομένων σημείων εὐθεῖαι κλασθῶσιν, καὶ ᾖ τὰ ἀπ' αὐτῶν δοθέντι χωρίῳ διαφέροντα, τὸ σημεῖον ἅψεται θέσει δεδομένης εὐθείας·

ἐὰν δὲ ὦσιν ἐν λόγῳ δοθέντι, ἤτοι εὐθείας ἢ περιφερείας·

ἐὰν ᾖ θέσει δεδομένη εὐθεῖα καὶ ἐπ' αὐτῆς δοθὲν σημεῖον καὶ ἀπὸ τούτου διαχθεῖσά τις πεπερασμένη, ἀπὸ δὲ τοῦ πέρατος ἀχθῇ πρὸς ὀρθὰς ἐπὶ τὴν θέσει, καὶ ᾖ τὸ ἀπὸ τῆς διαχθείσης ἴσον τῷ ὑπὸ δοθείσης καὶ ἧς ἀπολαμβάνει ἤτοι πρὸς τῷ δοθέντι σημείῳ ἢ πρὸς ἑτέρῳ δοθέντι σημείῳ ἐπὶ τῆς θέσει δεδομένης, τὸ πέρας τῆσδε ἅψεται θέσει δεδομένης περιφερείας·

ἐὰν ἀπὸ δύο δοθέντων σημείων εὐθεῖαι κλασθῶσιν, καὶ ᾖ το ἀπὸ τῆς μιᾶς τοῦ ἀπὸ τῆς ἑτέρας δοθέντι μεῖζον ἢ ἐν λόγῳ, τὸ σημεῖον ἅψεται θέσει δεδομένης περιφερείας·

ἐὰν ἀπὸ ὁσωνοῦν δεδομένων σημείων κλασθῶσιν εὐθεῖαι πρὸς ἑνὶ σημείῳ, καὶ ᾖ τὰ ἀπὸ πασῶν εἴδη ἴσα δοθέντι χωρίῳ, τὸ σημεῖον ἅψεται θέσει δεδομένης περιφερείας·

---

16. *θέσει δεδομένην* Hultsch cum Halleio. 20. *τῆσδε*] *τῆς διαχθείσης* coni. Hultsch.

ἐὰν ἀπὸ δύο δοθέντων σημείων κλασθῶσιν εὐθεῖαι, ἀπὸ δὲ τοῦ σημείου παρὰ θέσει ἀχθεῖσα εὐθεῖα ἀπολαμβάνῃ ἀπὸ θέσει δεδομένης εὐθείας πρὸς δοθέντι σημείῳ, καὶ ᾖ τὰ ἀπὸ τῶν κεκλασμένων εἴδη ἴσα τῷ ὑπὸ δοθείσης καὶ τῆς ἀπολαμβανομένης, τὸ πρὸς τῇ κλάσει σημεῖον ἅψεται θέσει δεδομένης περιφερείας·

ἐὰν ἐν κύκλῳ θέσει δεδομένῳ δοθέν τι σημεῖον ᾖ, καὶ δι' αὐτοῦ ἀχθῇ τις εὐθεῖα, καὶ ἐπ' αὐτῆς ληφθῇ τι σημεῖον ἐκτός, καὶ ᾖ τὸ ἀπὸ τῆς ἄχρι τοῦ δοθέντος ἐντὸς σημείου ἴσον τῷ ὑπὸ τῆς ὅλης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης ἤτοι μόνον ἢ τοῦτό τε καὶ τὸ ὑπὸ τῶν ἐντὸς δύο τμημάτων, τὸ ἐκτὸς σημεῖον ἅψεται θέσει δεδομένης εὐθείας·

καὶ ἐὰν τοῦτο μὲν τὸ σημεῖον ἅπτηται θέσει δεδομένης εὐθείας, ὁ δὲ κύκλος μὴ ὑπόκειται, τὰ ἐφ' ἑκάτερα τοῦ δεδομένου σημεῖα ἅψεται θέσει δεδομένης περιφερείας τῆς αὐτῆς.

Ἔχει δὲ τὰ τόπων ἐπιπέδων δύο βιβλία θεωρήματα ἤτοι διαγράμματα ρ̅μ̅ζ̅, λήμματα δὲ η̅.

25. Eutocius ad Apollonium I deff.; u. infra. est libri II prop. 2 apud Pappum; cfr. Studien über Euklid p. 70 sq.

De cochlea.

26. Proclus in Elementa p. 105, 1 sq. ed. Friedlein:

Τὴν περὶ τὸν κύλινδρον ἕλικα γραφομένην, ὅταν εὐθείας κινουμένης περὶ τὴν ἐπιφάνειαν τοῦ κυλίν-

---

12. *μόνον — τό*] Hultsch cum Simsono, *μόνῳ ἢ τούτῳ τε καὶ τῷ* codd.

δρου σημεῖον ὁμοταχῶς ἐπ' αὐτῆς κινῆται. γίνεται γὰρ ἕλιξ, ἧς ὁμοιομερῶς πάντα τὰ μέρη πᾶσιν ἐφαρμόζει, καθάπερ Ἀπολλώνιος ἐν τῷ περὶ τοῦ κοχλίου γράμματι δείκνυσιν. Cfr. p. 105, 14.

27. Pappus VIII, 49 p. 1110, 16 sq.:

Ἐν ᾧ γὰρ χρόνῳ τὸ Α ἐπὶ τὸ Β παραγίνεται ὁμαλῶς κινούμενον, ἐν τούτῳ καὶ ἡ ΑΒ κατὰ τῆς ἐπιφανείας τοῦ κυλίνδρου κινηθεῖσα εἰς τὸ αὐτὸ ἀποκαθίσταται, καὶ τὸ εἰρημένον φέρεσθαι σημεῖον κατὰ τῆς ΑΒ εὐθείας γράψει τὴν μονόστροφον ἕλικα· τοῦτο γὰρ Ἀπολλώνιος ὁ Περγεὺς ἀπέδειξεν.

Comparatio dodecaedri et icosaedri.

28. Hypsicles (Elementorum liber XIV qui fertur) V p. 2, 1 sq. ed. Heiberg:

Βασιλείδης ὁ Τύριος, ὦ Πρώταρχε, παραγενηθεὶς εἰς Ἀλεξάνδρειαν καὶ συσταθεὶς τῷ πατρὶ ἡμῶν διὰ τὴν ἀπὸ τοῦ μαθήματος συγγένειαν συνδιέτριψεν αὐτῷ τὸν πλεῖστον τῆς ἐπιδημίας χρόνον. καί ποτε ζητοῦντες τὸ ὑπὸ Ἀπολλωνίου συγγραφὲν περὶ τῆς συγκρίσεως τοῦ δωδεκαέδρου καὶ τοῦ εἰκοσαέδρου τῶν εἰς τὴν αὐτὴν σφαῖραν ἐγγραφομένων, τίνα ἔχει λόγον πρὸς ἄλληλα, ἔδοξαν ταῦτα μὴ ὀρθῶς γεγραφηκέναι τὸν Ἀπολλώνιον, αὐτοὶ δὲ ταῦτα καθάραντες ἔγραψαν, ὡς ἦν ἀκούειν τοῦ πατρός. ἐγὼ δὲ ὕστερον περιέπεσον ἑτέρῳ βιβλίῳ ὑπὸ Ἀπολλωνίου ἐκδεδομένῳ περιέχοντί τινα ἀπόδειξιν περὶ τοῦ προκειμένου, καὶ μεγάλως ἐψυχαγωγήθην ἐπὶ τῇ τοῦ προβλήματος ζητήσει. τὸ μὲν οὖν ὑπὸ Ἀπολλωνίου ἐκδοθὲν ἔοικε κοινῇ σκοπεῖν· καὶ γὰρ περιφέρεται δοκοῦν ὕστερον γεγράφθαι φιλοπόνως.

29. Hypsicles p. 6, 19 sq.:[1])

Ὁ αὐτὸς κύκλος περιλαμβάνει τό τε τοῦ δωδεκαέδρου πεντάγωνον καὶ τὸ τοῦ εἰκοσαέδρου τρίγωνον τῶν εἰς τὴν αὐτὴν σφαῖραν ἐγγραφομένων. τοῦτο δὲ γράφεται ὑπὸ μὲν Ἀρισταίου ἐν τῷ ἐπιγραφομένῳ τῶν ε̄ σχημάτων συγκρίσει, ὑπὸ δὲ Ἀπολλωνίου ἐν τῇ δευτέρᾳ ἐκδόσει τῆς συγκρίσεως τοῦ δωδεκαέδρου πρὸς τὸ εἰκοσάεδρον, ὅτι ἐστίν, ὡς ἡ τοῦ δωδεκαέδρου ἐπιφάνεια πρὸς τὴν τοῦ εἰκοσαέδρου ἐπιφάνειαν, οὕτως καὶ αὐτὸ τὸ δωδεκάεδρον πρὸς τὸ εἰκοσάεδρον διὰ τὸ τὴν αὐτὴν εἶναι κάθετον ἀπὸ τοῦ κέντρου τῆς σφαίρας ἐπὶ τὸ τοῦ δωδεκαέδρου πεντάγωνον καὶ τὸ τοῦ εἰκοσαέδρου τρίγωνον. γραπτέον δὲ καὶ ἡμῖν αὐτοῖς.

De irrationalibus inordinatis.

30. Proclus in Elementa p. 74, 23 sq.:

Τὰ περὶ τῶν ἀτάκτων ἀλόγων, ἃ ὁ Ἀπολλώνιος ἐπὶ πλέον ἐξειργάσατο.

31. Scholia in Elementa X, 1 p. 414, 12 sq. ed. Heiberg, quae e commentario Pappi petita esse conieci Studien über Euklid p. 170, demonstraui Videnskabernes Selskabs Skrifter, 6. Raekke, hist.-philos. Afd. II p. 236 sq. (Hauniae 1888):

Ἐν δὲ τοῖς ἑξῆς περὶ ῥητῶν καὶ ἀλόγων οὐ πασῶν· τινὲς γὰρ αὐτῷ ὡς ἐνιστάμενοι ἐγκαλοῦσιν·

---

1) Sicut dubitari nequit, quin etiam sequentium apud Hypsiclem propositionum multae uel eodem modo uel similiter apud Apollonium propositae et demonstratae fuerint, ita difficile est dictu, quae fuerint, quia de genere operis eius nihil scimus. quare ea tantum recepi, quae diserte ad eum referuntur.

ἀλλὰ τῶν ἁπλουστάτων εἰδῶν, ὧν συντιθεμένων γίνονται ἄπειροι ἄλογοι, ὧν τινας καὶ ὁ Ἀπολλώνιος ἀναγράφει.

32. Pappi commentarius in Elementorum libr. X, qui Arabice exstat et ex parte a Woepckio (Mémoires présentées par divers savans à l'académie des sciences 1856. XIV) cum interpretatione Francogallica editus est, p. 691:

Plus tard le grand Apollonius, dont le génie atteignit au plus haut degré de supériorité dans les mathématiques, ajouta à ces découvertes[1]) d'admirables théories après bien des efforts et de travaux.

33. Pappus in Elem. X p. 693 ed. Woepcke:

Enfin, Apollonius distingua[2]) les espèces des irrationnelles ordonnées, et découvrit la science des quantités appelées (irrationnelles) inordonnées, dont il produisit un très-grand nombre par des méthodes exactes.

34. Pappus in Elem. X p. 694 sq.:

Il faut aussi qu'on sache que, non-seulement lorsqu' on joint ensemble deux lignes rationnelles et commensurables en puissance, on obtient la droite de deux noms, mais que trois ou quatre lignes produisent d'une manière analogue la même chose. Dans le premier cas, on obtient la droïte de trois noms, puisque la ligne entière est irrationnelle; et, dans le second cas, on obtient la droite de quatre noms, et

1) Theaeteti de irrationalibus.
2) H. e. ab inordinatis distinxit ut proprium quoddam genus.

ainsi de suite jusqu' à l'infini. La démonstration [de l'irrationnalité] de la ligne composée de trois lignes rationnelles et commensurables en puissance est exactement la même que la démonstration relative à la combinaison de deux lignes.

Mais il faut recommencer encore et dire que nous pouvons, non-seulement prendre une seule ligne moyenne entre deux lignes commensurables en puissance, mais que nous pouvons en prendre trois ou quatre, et ainsi de suite jusqu'à l'infini, puisque nous pouvons prendre entre deux lignes droites données quelconques autant de lignes que nous voulons, en proportion continue.

Et, de même, dans les lignes formées par addition, nous pouvons, non-seulement construire la droite de deux noms, mais nous pouvons aussi construire celle de trois noms, ainsi que la première et la seconde de trois médiales; puis, la ligne composée de trois droites incommensurables en puissance et telles que l'une d'elles donne avec chacune des deux autres une somme des carrés rationnelle, tandis que le rectangle compris sous les deux lignes est médial, de sorte qu'il en résulte une majeure composée de trois lignes. Et, d'une manière analogue, on obtient la droite qui peut une rationnelle et une médiale, composée de trois droites, et de même celle qui peut deux médiales.

Car, supposons trois lignes rationnelles commensurables en puissance seulement. La ligne composée de deux de ces lignes, à savoir la droite de deux noms, est irrationnelle, et, en conséquence, l'espace compris sous cette ligne et sous la ligne restante est irrationnel, et, de même, le double de l'espace compris sous ces deux lignes sera irrationnel. Donc, le carré de la ligne entière, composée de trois lignes, est irrationnel, et, conséquemment, la ligne est irrationnelle, et on l'appelle droite de trois noms.

Et, si l'on a quatres lignes commensurables en puissance, comme nous l'avons dit, le procédé sera exactement le même; et on traitera les lignes suivantes d'une manière analogue.

Qu'on ait ensuite trois lignes médiales commensurables en puissance, et dont l'une comprenne avec chacune des deux autres un rectangle rationnel; alors la droite composée des deux lignes est irrationnelle et s'appelle la première de deux médiales; la ligne restante est médiale, et l'espace compris sous ces deux lignes est irrationnel. Conséquemment, le carré de la ligne entière est irrationnel. Le reste des autres lignes se trouve dans les mêmes circonstances. Les lignes composées s'étendent donc jusqu'à l'infini dans toutes les espèces formées au moyen de l'addition.

De même, il n'est pas nécessaire que, dans les lignes irrationnelles formées au moyen de la soustraction, nous nous bornions à n'y faire qu'une seule soustraction, de manière à obtenir l'apotome, ou le premier apotome de la médiale, ou le second apotome de la médiale, ou la mineure, ou la droite qui fait avec une surface rationnelle un tout médial, ou celle qui fait avec une surface médiale un tout médial; mais nous pourrons y effectuer deux ou trois ou quatre soustractions.

Lorsque nous faisons cela, nous démontrons, d'une manière analogue à ce qui précède, que les lignes restantes sont irrationnelles, et que chacune d'elles est une des lignes formées par soustraction. C'est-à-dire que, si d'une ligne rationnelle nous retranchons une autre ligne rationnelle commensurable à la ligne entière en puissance, nous obtenons pour ligne restante un apotome; et si nous retranchons de cette ligne retranchée et rationnelle, qu' Euclide appelle la congruente, une autre ligne rationnelle qui lui est commensurable en puissance, nous obtenons, comme partie restante, un apotome; de même que, si nous retranchons de la ligne rationnelle et retranchée de cette ligne une autre ligne qui lui est commensurable en puissance, le reste est un apotome. Il en est de même pour la soustraction des autres lignes.

Il est donc alors impossible de s'arrêter, soit dans les lignes formées par addition, soit dans celles formées par soustraction; mais on procède à l'infini, dans celles-là, en ajoutant, et dans celles-ci, en ôtant la ligne retranchée. Et, naturellement, l'infinité des quantités irrationnelles se manifeste par des procédés tels que les précédents, vu que la proportion continue ne s'arrête pas à un nombre déterminé pour les médiales, que l'addition n'a pas de fin pour les lignes formées par addition, et que la soustraction n'arrive pas non plus à un terme quelconque.[1])

---

1) Quid hinc de opere Apollonii concludi possit, exposuit Woepcke p. 706 sqq. uestigia doctrinae Apollonianae fortasse in additamento subditiuo Eucl. Elem. X, 112—115 p. 356—70 exstare, suspicatus sum in ed. Eucl. V p. LXXXV. Pappus tamen sine suspicione X, 115 legit; u. Woepcke p. 702.

35. Pappus in Elem. X p. 701:

Les irrationnelles se divisent premièrement en inordonnées, c'est-à-dire celles qui tiennent de la matière qu'on appelle corruptible, et qui s'étendent à l'infini; et, secondement, en ordonnées, qui forment le sujet limité d'une science, et qui sont aux inordonnées comme les rationnelles sont aux irrationnelles ordonnées. Or Euclide s'occupa seulement des ordonnées qui sont homogènes aux rationnelles, et qui ne s'en éloignent pas considérablement; ensuite Apollonius s'occupa des inordonnées, entre lesquelles et les rationnelles la distance est très-grande.

Ὠκυτόκιον.

36. Eutocius in Archimedis dimens. circuli III p. 300, 16 sq.:

Ἰστέον δέ, ὅτι καὶ Ἀπολλώνιος ὁ Περγαῖος ἐν τῷ Ὠκυτοκίῳ ἀπέδειξεν αὐτὸ [rationem ambitus circuli ad diametrum] *δι' ἀριθμῶν ἑτέρων ἐπὶ τὸ σύνεγγυς μᾶλλον ἀγαγών.*

37. Pappus[1]) II, 22 p. 24, 25 sq.:

Φατέον οὖν τὸν ἐξ ἀρχῆς στίχον

Ἀρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι

πολλαπλασιασθέντα δι' ἀλλήλων δύνασθαι μυριάδων πλῆθος τρισκαιδεκαπλῶν $\overline{\text{ρϙϛ}}$, *δωδεκαπλῶν* $\overline{\text{τξη}}$, *ἐν-*

---

1) Cum ab imagine operis Apolloniani, quod a Pappo citatur, qualem animo concepi, computatio ab Eutocio significata minime abhorreat, malui haec fragmenta sub uno titulo coniungere quam putare, Apollonium methodum magnos numeros computandi in duobus operibus exposuisse.

E fragm. 37 adparet, Apollonium initio operis, sine dubio in praefatione, iocandi causa uersum illum proposuisse et ut δεκαπλῶν ͵δω̄, συμφώνως τοῖς ὑπὸ Ἀπολλωνίου κατὰ την μέθοδον ἐν ἀρχῇ τοῦ βιβλίου προγεγραμμένοις.

38. Pappus II, 3 p. 4, 9 sq. (cfr. fragm. 47):

Ἀλλ' ὁ διπλάσιος τοῦ πλήθους τῶν ἐφ' ὧν τὰ Β μὴ μετρείσθω ὑπὸ τετράδος· μετρούμενος ἄρα λείψει δυάδα ἐξ ἀνάγκης· τοῦτο γὰρ προδέδεικται.

39. Pappus II, 1 p. 2, 1 sq.:

* γὰρ αὐτοὺς ἐλάσσονας μὲν εἶναι ἑκατοντάδος, μετρεῖσθαι δὲ ὑπὸ δεκάδος, καὶ δέον ἔστω τὸν ἐξ αὐτῶν στερεὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα αὐτούς.

40. Pappus II, 2 p. 2, 14 sq.:

Ἔστωσαν δὴ πάλιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἐφ' ὧν τὰ Β, ὧν ἕκαστος ἐλάσσων μὲν χιλιάδος, μετρείσθω δὲ ὑπὸ ἑκατοντάδος, καὶ δέον ἔστω τὸν ἐξ αὐτῶν στερεὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα τοὺς ἀριθμούς.

E Pappo p. 4, 3 sq. ad demonstrationem Apollonii haec pertinent: δείκνυται οὖν διὰ τῶν γραμμῶν .... ὁ διὰ τῶν ἐφ' ὧν τὰ Β στερεὸς ἴσος ... τῷ διὰ τῶν ἑκατοντάδων στερεῷ ἐπὶ τὸν ἐκ τῶν πυθμένων στερεόν. Hoc si duplicatam multitudinem numerorum *B* metitur numerus 4, sin minus (cfr. fragm. 38), ὁ διὰ τῶν ἐφ' ὧν τὰ Β μυριάδες εἰσὶν ρ̄ ὁμώνυμοι τῷ Ζ

---

exemplum numeri ingentis productum litterarum eius pro numeralibus sumptarum indicasse. deinde methodum, qua tanti numeri computari possint, exposuit. in qua enarranda Pappus propositiones ipsas excerpsit et per numeros confirmauit; demonstrationes ipsius Apollonii, quae in lineis factae erant, h. e. uniuersaliter, sicut in Elem. VII—IX, omisit. hinc adparet, quid in opere Apollonii e commentariis Pappi restituendo secutus sim. cfr. Tannery Mémoires de la soc. des sciences physiques et natur. de Bordeaux, 2ᵉ sér. III p. 352 sq.

γενόμεναι ἐπὶ τὸν E, Pappus p. 4, 16 sq. De *Z*, *E* u. fragm. 42.

41. Pappus II, 4 p. 4, 19 sq.:

Ἔστωσαν δύο ἀριθμοὶ οἱ A, B, καὶ ὁ μὲν A ὑποκείσθω ἐλάσσων μὲν χιλιάδος, μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, ὁ δὲ B ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ δεκάδος, ... καὶ δέον ἔστω τὸν ἐξ αὐτῶν ἀριθμὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα αὐτούς.

De demonstratione Pappus p. 6, 4: *τὸ δὲ γραμμικὸν δῆλον ἐξ ὧν ἔδειξεν Ἀπολλώνιος.*

42. Pappus II, 5 p. 6, 6 sq.:

Ἐπὶ δὲ τοῦ ιη' θεωρήματος. Ἔστω πλῆθος ἀριθμῶν τὸ ἐφ' ὧν τὰ A, ὧν ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλο πλῆθος ἀριθμῶν τὸ ἐφ' ὧν τὰ B, ὧν ἕκαστος ἐλάσσων μὲν χιλιάδος, μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν ἐφ' ὧν τὰ A, B στερεὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα αὐτούς.

De demonstratione Pappus p. 6, 19 sq.: *καὶ δείκνυσιν ὁ Ἀπολλώνιος τὸν ἐκ πάντων τῶν ἐφ' ὧν τὰ A, B στερεὸν μυριάδων τοσούτων, ὅσαι εἰσὶν ἐν τῷ E* [producto *τῶν πυθμένων*] *μονάδες, ὁμωνύμων τῷ Z ἀριθμῷ* [qui indicat, quoties numerus 4 metiatur summam multitudinis numerorum *A* et duplicatae multitudinis numerorum *B*]. De casibus secundo, tertio, quarto Pappus p. 6, 29 sq.: *ἀλλὰ δὴ τὸ πλῆθος τῶν ἐφ' ὧν τὰ A προσλαβὸν τὸν διπλασίονα τοῦ πλήθους τῶν ἐφ' ὧν τὰ B μετρούμενον ὑπὸ τετράδος καταλειπέτω πρότερον ἕνα· καὶ συνάγει ὁ Ἀπολλώνιος, ὅτι*

---

12. ιη'] om. codd.

ὁ ἐκ τῶν ἀριθμῶν ἐφ' ὧν τὰ *A*, *B* στερεὸς μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ *Z*, ὅσος ἐστὶν ὁ δεκαπλασίων τοῦ *E*. ἐὰν δὲ τὸ προειρημένον πλῆθος μετρούμενον ὑπὸ τετράδος καταλείπῃ δύο, ὁ ἐκ τῶν ἀριθμῶν στερεὸς τῶν ἐφ' ὧν τὰ *A*, *B* μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ *Z*, ὅσος ἐστὶν ὁ ἑκατονταπλάσιος τοῦ *E* ἀριθμοῦ. ὅταν δὲ τρεῖς καταλειφθῶσιν, ἴσος ἐστὶν ὁ ἐξ αὐτῶν στερεὸς μυριάσιν τοσαύταις ὁμωνύμοις τῷ *Z*, ὅσος ἐστὶν ὁ χιλιαπλάσιος τοῦ *E* ἀριθμοῦ.

43. Pappus II, 7 p. 8, 12 sq.:

Ἐπὶ δὲ τοῦ ιθ' θεωρήματος. Ἔστω τις ἀριθμὸς ὁ *A* ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλοι ὁσοιδηποτοῦν ἀριθμοὶ ἐλάσσονες δεκάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν *A*, *B*, *Γ*, *Δ*, *E* στερεὸν εἰπεῖν.

Ἔστω γὰρ καθ' ὃν μετρεῖται ὁ *A* ὑπὸ τῆς δεκάδος ὁ *Z*, τουτέστιν ὁ πυθμὴν τοῦ *A*, καὶ εἰλήφθω ὁ ἐκ τῶν *Z*, *B*, *Γ*, *Δ*, *E* στερεὸς καὶ ἔστω ὁ *H*· λέγω, ὅτι ὁ διὰ τῶν *A*, *B*, *Γ*, *Δ*, *E* στερεὸς δεκάκις εἰσὶν οἱ *H*.

De demonstratione Pappus p. 8, 27: τὸ δὲ γραμμικὸν ὑπὸ τοῦ Ἀπολλωνίου δέδεικται.

44. Pappus II, 8 p. 10, 1 sq.:

Ἀλλὰ δὴ ἔστωσαν δύο ἀριθμοὶ οἱ *A*, *B*, ὧν ἑκάτερος ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ

Lin. 24 sq. ab Apollonio abiudicat Tannery, sed cfr. p. 128, 7. contra iure idem Papp. p. 10, 15—30 negat apud Apollonium fuisse, nec ibi τὸ γραμμικόν citatur; a Pappo additum uidetur, quo magis gradatim ad fragm. 45 transeatur.

---

15. δεκάδος οἷον οἱ *B*, *Γ*, *Δ*, *E* Hultsch cum aliis.

δεκάδος, τῶν δὲ Γ, Δ, Ε ἕκαστος ἐλάσσων δεκάδος ἔστω, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α, Β, Γ, Δ, Ε στερεὸν εἰπεῖν.

Ἔστωσαν γὰρ τῶν Α, Β πυθμένες οἱ Ζ, Η· λέγω, ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ, Ε στερεὸς τοῦ ἐκ τῶν Ζ, Η, Γ, Δ, Ε στερεοῦ ἑκατονταπλάσιός ἐστιν.

De demonstratione Pappus p. 10, 14: τὸ δὲ γραμμικὸν ἐκ τῶν Ἀπολλωνίου.

45. Pappus II, 10 p. 10, 31 sq.:

Ἀλλὰ δὴ ἔστωσαν πλείους τριῶν οἱ Α, Β, Γ, Δ, Ε καὶ ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ δεκάδος, τῶν δὲ Ζ, Η, Θ ἕκαστος ἔστω ἐλάσσων δεκάδος.

Τὸ πλῆθος τῶν Α, Β, Γ, Δ, Ε πρότερον μετρείσθω ὑπὸ τετράδος κατὰ τὸν Ο, καὶ ἔστωσαν τῶν Α, Β, Γ, Δ, Ε πυθμένες οἱ Κ, Λ, Μ, Ν, Ξ· ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ, Ζ, Η, Θ στερεὸς ἴσος ἐστὶν μυριάσιν ὁμωνύμοις τῷ Ο, ὅσαι μονάδες εἰσὶν ἐν τῷ στερεῷ τῷ ἐκ τῶν Κ, Λ, Μ, Ν ἐπὶ τὸν ἐκ τῶν Ζ, Η, Θ.

De casibus secundo, tertio, quarto Pappus p. 12, 20 sq.:

Ἀλλὰ δὴ τὸ πλῆθος τῶν Α, Β, Γ, Δ, Ε μὴ μετρείσθω ὑπὸ τετράδος· μετρούμενον δὴ ἤτοι ᾱ ἢ β̄ ἢ γ̄ λείψει. εἰ μὲν οὖν ἕνα λείψει, ἔσται ὁ ἐκ των Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ στερεὸς μυριάδων ὁμωνύμων τῷ Ο, ὅσος ἐστὶν ὁ ἐκ τῶν Κ, Λ, Μ, Ν, Ξ στερεὸς ἐπὶ τὸν ἐκ τῶν Ζ, Η, Θ καὶ ὁ γενόμενος δεκάκις· εἰ

---

10. πλείους τριῶν] Apollonius scripserat ὁσοιδηποτοῦν. 10 sq. Hultschio suspecta. 24. Ζ, Η, Θ] Hultsch, om. codd. 25. Ο τοσούτων coni. Hultsch. Ξ] Hultsch cum Wallisio, om. codd. 26. καὶ ὁ] del. Hultsch cum Wallisio.

δὲ δύο λείπει, ἑκατοντάκις γενόμενος ὁ εἰρημένος στερεός. εἰ δὲ τρεῖς λείψει, ὁ ἐκ τῶν Κ, Λ, Μ, Ν, Ξ ἐπὶ τὸν ἐκ τῶν Ζ, Η, Θ χιλιάκις γενόμενος [ἔσται μυριάδων τοσούτων ὁμωνύμων τῷ Ο]. τὸ δὲ γραμμικὸν ἐκ τοῦ στοιχείου δῆλον.

46. Pappus II, 12 p. 14, 4 sq.:

Ἔστω ὁ μὲν Α ἐλάσσων μὲν χιλιάδος, μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, ἕκαστος δὲ τῶν Β, Γ, Δ ἐλάσσων δεκάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α, Β, Γ, Δ στερεὸν εἰπεῖν.

Κείσθω γὰρ τοῦ μὲν Α πυθμὴν ὁ Ε, τῷ δὲ ἐκ τῶν Ε, Β, Γ, Δ στερεῷ ἴσος ὁ Ζ· ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ στερεὸς ἑκατοντάκις ἐστὶν ὁ Ζ.

De demonstratione Pappus p. 14, 15: τὸ δὲ γραμμικὸν ἐκ τοῦ στοιχείου.

47. Pappus II, 13 p. 14, 16: Ἐπὶ δὲ τοῦ κδ' θεωρήματος (de producto quotlibet unitatum et quotlibet centenariorum).

In priore casu nihil de Apollonio sumpsit Pappus, sed numeros tantum de suo adfert; in altero haec p. 14, 24 sq. (cfr. fragm. 38):

Ἐὰν δὲ τὸ διπλάσιον τοῦ πλήθους τῶν Α, Β μὴ μετρῆται ὑπὸ τετράδος, δῆλον, ὅτι μετρούμενον κατὰ τὸν Κ λείψει δύο· τοῦτο γὰρ ἀνώτερον ἐδείχθη. διὰ

---

1. λείψει Hultsch. γενόμενος — 2. στερεός] del. Hultsch. 2. ὁ] ὅσων ὁ Hultsch. Ξ] Hultsch cum Wallisio, om. codd. 3. ἔσται μονάδων τοσούτων μυριάδων Hultsch; malim delere ἔσται — 4. τῷ Ο. 7 sq. Hultschio suspecta. 11. τῷ] ὁ Hultsch cum Wallisio. 12. στερεῷ ἴσος] Eberhard (qui praeterea add. ἔστω), om. codd. 15. στοιχείου δῆλον Hultsch cum Wallisio.

δὴ τοῦτο ἐκ τῶν *A*, *B* καὶ μιᾶς τῶν λειπομένων δύο ἑκατοντάδων μυριάδες εἰσὶν ἑκατὸν ὁμώνυμοι τῷ *K*· καὶ ἔτι ὁ ἐκ τῶν *Z*, *H*, *Γ*, *Δ*, *E* στερεὸς ὁ *Θ* ἐπὶ τὰς ἑκατὸν μυριάδας ὁμωνύμους τῷ *K*. τὸ γραμμικὸν ὡς Ἀπολλώνιος.

48. Pappus II, 14 p. 16, 3:

Ἐπὶ δὲ τοῦ κε' θεωρήματος.

Quae sequuntur p. 16, 3 sq. tam corrupta sunt, ut sensus idoneus sine uiolentia elici non possit. sed cum hic τὸ γραμμικόν Apollonii non citetur, dubito, an non sit propositio operis Apolloniani, sed lemma ipsius Pappi. cfr. Tannery l. c. p. 355 sq.

49. Pappus II, 15 p. 16, 17 sq.:

Τὸ δ' ἐπὶ πᾶσι θεώρημα κϛ' πρότασιν ἔχει καὶ ἀπόδειξιν τοιαύτην.

Ἔστωσαν δύο ἀριθμοὶ ἢ πλείους οἱ *A*, *B*, ὧν ἕκαστος ἐλάσσων μὲν χιλιάδος, μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, καὶ ἄλλοι ἀριθμοὶ ὁσοιδήποτε οἱ *Γ*, *Δ*, *E*, ὧν ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος, μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλοι πάλιν ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ *Z*, *H*, *Θ*, ὧν ἕκαστος ἐλάσσων δεκάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν *A*, *B*, *Γ*, *Δ*, *E*, *Z*, *H*, *Θ* στερεὸν εἰπεῖν.

ἔστωσαν γὰρ τῶν *A*, *B*, *Γ*, *Δ*, *E* πυθμένες οἱ *Λ*, *M*, *N*, *Ξ*, *O*. ὁ δὴ διπλάσιος τῶν *A*, *B* μετὰ τῶν

1. *A*, *B* καὶ μιᾶς τῶν] dubitans addidi, om. codd. (per *A*, *B* significatur ea pars seriei, cuius multitudo duplicata est 4 *K*). λειπομένων] Bredow, λπ̄ codd. Pro ἐκ — 2. ἑκατοντάδων Hultsch: ἐκ τοῦ λείπεσθαι δύο, quod deinde delet. 2. ἑκατόν] Hultsch cum Wallisio, χιλίαι codd. 3. ἔτι] scripsi, ἔστιν codd. *Z*, *H*] scripsi, *A*, *B* codd. (sed u. Papp. p. 14, 22). Ante ἐπί add. ἴσος τῷ ἐκ τῶν *Z*, *H*, *Γ*, *Δ*, *E* στερεῷ Hultsch. τὰς ἑκατόν] Hultsch et Wallis, χιλιας codd. 24. διπλάσιος τοῦ πλήθους τῶν Hultsch. μετά] μετὰ τοῦ Hultsch, καί codd.

Γ, Δ, Ε ἁπλῶς ἀριθμῶν ἤτοι μετρεῖται ὑπὸ τετράδος ἢ οὔ.

μετρείσθω πρότερον ὑπὸ τετράδος κατὰ τὸν Κ, καὶ ὑποτετάχθωσαν τοῖς μὲν Α, Β ἑκατοντάδες αἱ Π, Ρ, τοῖς δὲ Γ, Δ, Ε δεκάδες αἱ Σ, Τ, Υ· καὶ ὁ διπλάσιος ἄρα τῶν Π, Ρ μετὰ τοῦ πλήθους τῶν Σ, Τ, Υ μετρεῖται ὑπὸ τετράδος κατὰ τὸν Κ. καὶ φανερόν, ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ, Ε στερεὸς ἴσος ἐστὶ τῷ ἐκ τῶν Π, Ρ, Σ, Τ, Υ ἐπὶ τὸν ἐκ τῶν Λ, Μ, Ν, Ξ, Ο. εἰλήφθω δὴ ὁ ἐκ τῶν Λ, Μ, Ν, Ξ, Ο, Ζ, Η, Θ στερεὸς καὶ ἔστω ὁ Φ· ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ στερεὸς μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ Κ, ὅσαι μονάδες εἰσὶν ἐν τῷ Φ. τοῦτο δὲ γραμμικῶς Ἀπολλώνιος ἀπέδειξεν.

Ἐὰν δὲ ὁ διπλάσιος τοῦ πλήθους τῶν Α, Β μετὰ τοῦ πλήθους τῶν Γ, Δ, Ε μὴ μετρῆται ὑπὸ τετράδος, μετρούμενος ἄρα κατὰ τὸν Κ λείψει ἢ ἕνα ἢ δύο ἢ τρεῖς. εἰ μὲν οὖν ἕνα λείψει, ὁ ἐκ τῶν Π, Ρ, Σ, Τ, Υ στερεὸς μυριάδες εἰσὶν δέκα ὁμώνυμοι τῷ Κ, εἰ δὲ δύο, μυριάδες ἑκατὸν ὁμώνυμοι τῷ Κ, εἰ δὲ τρεῖς, μυριάδες χίλιαι ὁμώνυμοι τῷ Κ. καὶ δῆλον ἐκ τῶν γενομένων, ὅτι ὁ ἐκ τῶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ στερεὸς μυριάδες εἰσὶν τοσαῦται, ὅσος ὁ δεκαπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ ἀριθμῷ, ἢ ὅσος ὁ ἑκατονταπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ, ἢ ὅσος ὁ χιλιαπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ.

Τούτου δὴ τοῦ θεωρήματος προτεθεωρημένου πρό-

---

1. ἁπλοῦ ἀριθμοῦ Hultsch. 5. καὶ ὁ — 7. Κ] interpolatori tribuit Hultsch. 6. ἄρα τοῦ πλήθους τῶν Hultsch cum Wallisio. 8. Α — ἐκ τῶν] addidi, om. codd.; post Ο lin. 9 add. ἴσος ἐστὶ τῷ ἐκ τῶν Α, Β, Γ, Δ, Ε στερεῷ Hultsch cum Wallisio. 21. γενομένων] γεγραμμένων Hultsch. 26. τοῦ θεωρήματος] del. Hultsch.

δῆλον, πῶς ἔστιν τὸν δοθέντα στίχον πολλαπλασιάσαι καὶ εἰπεῖν τὸν γενόμενον ἀριθμὸν ἐκ τοῦ τὸν πρῶτον τῶν ἀριθμῶν, ὃν εἴληφε τὸ πρῶτον τῶν γραμμάτων, ἐπὶ τὸν δεύτερον ἀριθμόν, ὃν εἴληφε τὸ δεύτερον τῶν γραμμάτων, πολυπλασιασθῆναι καὶ τὸν γενόμενον ἐπὶ τὸν τρίτον ἀριθμόν, ὃν εἴληφε τὸ τρίτον γράμμα, καὶ κατὰ τὸ ἑξῆς περαίνεσθαι μέχρι τοῦ διεξοδεύεσθαι τὸν στίχον, ὡς εἶπεν Ἀπολλώνιος ἐν ἀρχῇ.[1] *κατὰ τὸν στίχον οὕτως·*

Ἀρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι

(τὸ δὲ κλεῖτε φησὶν ἀντὶ τοῦ ὑπομνήσατε).

50. Pappus II, 18 p. 20, 10 sq.:

Ἐὰν ἄρα τοὺς δέκα ἀριθμοὺς [centenarios uersus illius] *διπλασιάσωμεν καὶ τοὺς γενομένους κ̅ προσθῶμεν τοῖς εἰρημένοις ἁπλῶς ἀριθμοῖς ἑπτακαίδεκα,*[2] *τὰ γενόμενα ὁμοῦ λ̅ζ̅ ἕξομεν τῶν ὑπ' αὐτοῦ λεγομένων ἀναλόγων. κἂν τοῖς μὲν δέκα ἀριθμοῖς ὑποτάξωμεν ἰσαρίθμους δέκα κατὰ τάξιν ἑκατοντάδος, τοῖς δὲ ι̅ζ̅ ὁμοίως ὑποτάξωμεν δεκάδας ι̅ζ̅, φανερὸν ἐκ τοῦ ἀνώτερον λογιστικοῦ θεωρήματος ιβ', ὅτι δέκα ἑκατοντάδες μετὰ τῶν ι̅ζ̅ δεκάδων ποιοῦσι μυριάδας ἐνναπλᾶς δέκα.*

---

1) Hic incipere uidetur expositio amplior Pappi eorum, quae Apollonius initio operis breuiter significauerat.

2) Sc. denariis uersus.

---

3. *τῶν ἀριθμῶν*] *ἀριθμόν* Hultsch. 5. *πολλαπλασιασθῆναι* Hultsch cum Wallisio. 8. *ὡς*] *ὃν* Hultsch. *κατὰ τὸν στίχον*] del. Hultsch. 13. *τούς* — 17. *κἂν*] del. Hultsch. 16. *λεγομένων*] Eberhard, *γενομένων* codd.

De principiis mathematicis.

51. Marinus in Data Euclidis p. 2 ed. Hardy:

Διὸ τῶν ἁπλουστέρως καὶ μιᾷ τινι διαφορᾷ περιγράφειν τὸ δεδομένον προθεμένων οἱ μὲν τεταγμένον, ὡς Ἀπολλώνιος ἐν τῇ περὶ νεύσεων καὶ ἐν τῇ καθόλου πραγματείᾳ.

52. Proclus in Elem. p. 100, 5 sq.[1])

Ἀποδεξώμεθα δὲ καὶ τοὺς περὶ Ἀπολλώνιον λέγοντας, ὅτι γραμμῆς ἔννοιαν μὲν ἔχομεν, ὅταν τὰ μήκη μόνον ἢ τῶν ὁδῶν ἢ τῶν τοίχων ἀναμετρεῖν κελεύωμεν· οὐ γὰρ προσποιούμεθα τότε τὸ πλάτος, ἀλλὰ τὴν ἐφ' ἓν διάστασιν ἀναλογιζόμεθα, καθάπερ δὴ καί, ὅταν χωρία μετρῶμεν, τὴν ἐπιφάνειαν ὁρῶμεν, ὅταν δὲ φρέατα, τὸ στερεόν· πάσας γὰρ ὁμοῦ τὰς διαστάσεις συλλαβόντες ἀποφαινόμεθα τοσόνδε εἶναι τὸ διάστημα τοῦ φρέατος κατά τε μῆκος καὶ πλάτος καὶ βάθος. αἴσθησιν δὲ αὐτῆς λάβοιμεν ἂν ἀπιδόντες εἰς τοὺς διορισμοὺς τῶν πεφωτισμένων τόπων ἀπὸ τῶν ἐσκιασμένων καὶ ἐπὶ τῆς σελήνης καὶ ἐπὶ τῆς γῆς· τοῦτο γὰρ τὸ μέσον κατὰ μὲν πλάτος ἀδιάστατόν ἐστι, μῆκος δὲ ἔχει τὸ συμπαρεκτεινόμενον τῷ φωτὶ καὶ τῇ σκιᾷ.

53. Proclus in Elem. p. 123, 14 sq.:

Τοῦ μὲν Εὐκλείδου κλίσιν λέγοντος τὴν γωνίαν, τοῦ δὲ Ἀπολλωνίου συναγωγὴν ἐπιφανείας ἢ στερεοῦ πρὸς ἑνὶ σημείῳ ὑπὸ κεκλασμένῃ γραμμῇ ἢ ἐπιφανείᾳ· δοκεῖ γὰρ οὗτος καθόλου πᾶσαν ἀφορίζεσθαι γωνίαν.

---

1) De his fragmentis u. Tannery Bulletin des sciences mathématiques, 2e série, V p. 124, et cfr. quae monui Philolog. XLIII p. 488. ibidem suspicatus sum, etiam Procl. p. 227, 9 sq. ad Apollonium pertinere.

Cfr. p. 124, 17 sq.: *τὴν ἰδιότητα τῆς γωνίας εὑρήσομεν συναγωγὴν μὲν οὐκ οὖσαν, ὥσπερ [καὶ] ὁ Ἀπολλώνιός φησιν, ἐπιφανείας ἢ στερεοῦ*; u. etiam p. 125, 17.

54. Proclus in Elem. p. 183, 13 sq.:

Μάτην οὖν τῶν ἀξιωμάτων Ἀπολλώνιος ἐπεχείρησεν ἀποδείξεις παραδιδόναι. ὀρθῶς γὰρ καὶ ὁ Γεμῖνος ἐπέστησεν, ὅτι οἱ μὲν καὶ τῶν ἀναποδείκτων ἀποδείξεις ἐπενόησαν καὶ ἀπὸ ἀγνωστοτέρων μέσων τὰ γνώριμα πᾶσιν κατασκευάζειν ἐπεχείρησαν· ὃ δὴ πέπονθεν ὁ Ἀπολλώνιος δεικνύναι βουλόμενος, ὅτι ἀληθὲς τὸ ἀξίωμα τὸ λέγον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα εἶναι.

Cfr. p. 194, 9: *πολλοῦ ἄρα δεήσομεν ἡμεῖς τὸν γεωμέτρην Ἀπολλώνιον ἐπαινεῖν, ὃς καὶ τῶν ἀξιωμάτων, ὡς οἴεται, γέγραφεν ἀποδείξεις ἀπ' ἐναντίας Εὐκλείδῃ φερόμενος· ὁ μὲν γὰρ καὶ τὸ ἀποδεικτὸν ἐν τοῖς αἰτήμασι κατηρίθμησεν, ὁ δὲ καὶ τῶν ἀναποδείκτων ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν.*

Ipsam demonstrationem Apollonii habet Proclus p. 194, 20 sq.: *ὅτι δὲ καὶ ἡ ἀπόδειξις, ἣν ὁ Ἀπολλώνιος εὑρηκέναι πέπεισται τοῦ πρώτου τῶν ἀξιωμάτων, οὐδὲν μᾶλλον ἔχει τὸν μέσον τοῦ συμπεράσματος γνωριμότερον, εἰ μὴ καὶ πλέον ἀμφισβητούμενον, μάθοι τις ἂν ἐπιβλέψας εἰς αὐτὴν καὶ σμικρόν.*

ἔστω γάρ, φησί, τὸ Α τῷ Β ἴσον, τοῦτο δὲ τῷ Γ. λέγω, ὅτι καὶ τὸ Α τῷ Γ ἴσον. ἐπεὶ γὰρ τὸ Α τῷ Β ἴσον, τὸν αὐτὸν αὐτῷ κατέχει τόπον. καὶ ἐπεὶ τὸ Β

---

2. *καί*] deleo. 23. *τὸν μέσον*] sc. *ὅρον*, *τὸ μέσον* Friedlein.

τῷ Γ ἴσον, τὸν αὐτὸν καὶ τούτῳ κατέχει τόπον. καὶ τὸ Α ἄρα τῷ Γ τὸν αὐτὸν κατέχει τόπον· ἴσα ἄρα ἐστίν.

55. Proclus in Elem. p. 279, 16 sq.:

Ἀπολλώνιος δὲ ὁ Περγαῖος τέμνει τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην δίχα τοῦτον τὸν τρόπον.



ἔστω, φησίν, ἡ ΑΒ εὐθεῖα πεπερασμένη, ἣν δεῖ δίχα τεμεῖν, καὶ κέντρῳ τῷ Α, διαστήματι δὲ τῷ ΑΒ γεγράφθω κύκλος, καὶ πάλιν κέντρῳ τῷ Β, διαστήματι δὲ τῷ ΒΑ ἕτερος κύκλος, καὶ ἐπεζεύχθω ἡ ἐπὶ τὰς τομὰς τῶν κύκλων ἡ ΓΔ. αὕτη δίχα τέμνει τὴν ΑΒ εὐθεῖαν.

ἐπεζεύχθωσαν γὰρ αἱ ΓΑ, ΓΒ καὶ αἱ ΔΑ, ΔΒ. ἴσαι ἄρα εἰσὶν αἱ ΓΑ, ΓΒ· ἑκατέρα γὰρ ἴση τῇ ΑΒ· κοινὴ δὲ ἡ ΓΔ, καὶ ἡ ΔΑ τῇ ΔΒ ἴση διὰ τὰ αὐτά. ἡ ἄρα ὑπὸ ΑΓΔ γωνία ἴση τῇ ὑπὸ ΒΓΔ· ὥστε δίχα τέτμηται ἡ ΑΒ διὰ τὸ τέταρτον.

τοιαύτη τίς ἐστιν ἡ κατὰ Ἀπολλώνιον τοῦ προκειμένου προβλήματος [Elem. I, 10] ἀπόδειξις ἀπὸ μὲν τοῦ ἰσοπλεύρου τριγώνου καὶ αὐτὴ ληφθεῖσα, ἀντὶ δὲ τοῦ λαβεῖν δίχα τεμνομένην τὴν πρὸς τῷ Γ γωνίαν

---

19. καί — 20. ΓΒ] addidi, om. Friedlein. 23. ἡ] scripsi, ὁ Friedlein. 24. ἡ] scripsi, καὶ ἡ Friedlein.

δεικνύουσα, ὅτι δίχα τέτμηται, διὰ τὴν ἰσότητα τῶν βάσεων.

56. Proclus in Elem. p. 282, 8 sq.:

Ἀπολλώνιος δὲ τὴν πρὸς ὀρθὰς ἄγει τὸν τρόπον τοῦτον·

ἐπὶ τῆς $A\Gamma$ τυχὸν τὸ Δ, καὶ ἀπὸ τῆς ΓB ἴση τῇ $\Gamma\Delta$ ἡ ΓE, καὶ κέντρῳ τῷ Δ, τῷ δὲ $E\Delta$ διαστήματι γεγράφθω κύκλος, καὶ πάλιν κέντρῳ τῷ E, διαστήματι δὲ τῷ ΔE κύκλος γεγράφθω, καὶ ἀπὸ τοῦ Z ἐπὶ τὸ Γ ἤχθω. λέγω, ὅτι αὕτη ἐστὶν ἡ πρὸς ὀρθάς.



ἐὰν γὰρ ἐπιζευχθῶσιν αἱ $Z\Delta$, ZE, ἴσαι ἔσονται. ἴσαι δὲ καὶ αἱ $\Delta\Gamma$, ΓE, καὶ κοινὴ ἡ $Z\Gamma$· ὥστε καὶ αἱ πρὸς τῷ Γ γωνίαι ἴσαι διὰ τὸ ὄγδοον. ὀρθαὶ ἄρα εἰσίν.

57. Proclus in Elem. p. 335, 16 sq.:

Τὴν δὲ Ἀπολλωνίου δεῖξιν οὐκ ἐπαινοῦμεν ὡς δεομένην τῶν ἐν τῷ τρίτῳ βιβλίῳ δεικνυμένων. λαβὼν γὰρ ἐκεῖνος γωνίαν τυχοῦσαν τὴν ὑπὸ $\Gamma\Delta E$ καὶ εὐθεῖαν τὴν AB κέντρῳ τῷ Δ, διαστήματι δὲ τῷ $\Gamma\Delta$, γράφει τὴν ΓE περιφέρειαν καὶ ὡσαύτως κέντρῳ τῷ A, διαστήματι δὲ τῷ AB τὴν ZB, καὶ ἀπολαβὼν τῇ ΓE ἴσην τὴν ZB ἐπιζεύγνυσι τὴν AZ καὶ ἐπὶ ἴσων περι-



2. βάσεων] h. e. $A\Delta$, ΔB. 13. ἤχθω ἡ $Z\Gamma$ Friedlein.

φερειῶν βεβηκυίας τὰς Α, Δ γωνίας ἴσας ἀποφαίνει. δεῖ δὲ προλαβεῖν καί, ὅτι ἡ ΑΒ ἴση τῇ ΓΔ, ἵνα καὶ οἱ κύκλοι ἴσοι ὦσι.

58. Scholium[1]) ad Euclidis Data deff. 13—15:

Τούτους Ἀπολλωνίου φασὶν εἶναι τοὺς τρεῖς ὅρους.

Astronomica.

59. Ptolemaeus *σύνταξις* XII, 1 (II p. 312 sq. ed. Halma):

Τούτων ἀποδεδειγμένων ἀκόλουθον ἂν εἴη καὶ τὰς καθ' ἕκαστον τῶν πέντε πλανωμένων γινομένας προηγήσεις ἐλαχίστας τε καὶ μεγίστας ἐπισκέψασθαι καὶ δεῖξαι καὶ τὰς τούτων πηλικότητας· ἀπὸ τῶν ἐκκειμένων ὑποθέσεων συμφώνους, ὡς ἔνι μάλιστα, γινομένας ταῖς ἐκ τῶν τηρήσεων καταλαμβανομέναις. εἰς δὲ τὴν τοιαύτην διάληψιν προαποδεικνύουσι μὲν καὶ οἵ τε ἄλλοι μαθηματικοὶ καὶ Ἀπολλώνιος ὁ Περγαῖος ὡς ἐπὶ μιᾶς τῆς παρὰ τὸν ἥλιον ἀνωμαλίας, ὅτι, ἐάν τε διὰ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως γίνηται, τοῦ μὲν ἐπικύκλου περὶ τὸν ὁμόκεντρον τῷ ζῳδιακῷ κύκλον τὴν κατὰ μῆκος πάροδον εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ποιουμένου, τοῦ δὲ ἀστέρος ἐπὶ τοῦ ἐπικύκλου περὶ τὸ

---

1) Hoc scholium, quod ad opus Apollonii de principiis mathematicis referre non dubito — nam ibi sine dubio, sicut de axiomatis, ita etiam de definitionibus et de uera definiendi ratione disputauerat —, mecum communicauit H. Menge. exstat in codd. Vatt. gr. 190 et 204 et in cod. Laur. 28, 10, ne plures.

---

5. *τούτου* Vat. 190. *Ἀπολλώνιος* Vat. 190. *φησίν* Vat. 190. *εἶναί φησι* Vat. 204. *τούτους τοὺς τρεῖς ὅρους Ἀπολλωνίου φασὶν εἶναι* Laur. 28, 10.

κέντρον αὐτοῦ τὴν τῆς ἀνωμαλίας ὡς ἐπὶ τὰ ἑπόμενα τῆς ἀπογείου περιφερείας, καὶ διαχθῇ τις ἀπὸ τῆς ὄψεως ἡμῶν εὐθεῖα τέμνουσα τὸν ἐπίκυκλον οὕτως ὥστε τοῦ ἀπολαμβανομένου αὐτῆς ἐν τῷ ἐπικύκλῳ τμήματος τὴν ἡμίσειαν πρὸς τὴν ἀπὸ τῆς ὄψεως ἡμῶν μέχρι τῆς κατὰ τὸ περίγειον τοῦ ἐπικύκλου τομῆς λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, τὸ γινόμενον σημεῖον ὑπὸ τῆς οὕτως διαχθείσης εὐθείας πρὸς τῇ περιγείῳ περιφερείᾳ τοῦ ἐπικύκλου διορίζει τάς τε ὑπολείψεις καὶ τὰς προηγήσεις, ὥστε κατ' αὐτοῦ γινόμενον τὸν ἀστέρα φαντασίαν ποιεῖσθαι στηριγμοῦ· ἐάν τε διὰ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως ἡ παρὰ τὸν ἥλιον ἀνωμαλία συμβαίνῃ τῆς τοιαύτης ἐπὶ μόνων τῶν πᾶσαν ἀπόστασιν ἀπὸ τοῦ ἡλίου ποιουμένων τριῶν ἀστέρων προχωρεῖν δυναμένης, τοῦ μὲν κέντρου τοῦ ἐκκέντρου περὶ τὸ τοῦ ζῳδιακοῦ κέντρον εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ἰσοταχῶς τῷ ἡλίῳ φερομένου, τοῦ δὲ ἀστέρος ἐπὶ τοῦ ἐκκέντρου περὶ τὸ κέντρον αὐτοῦ εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἰσοταχῶς τῇ τῆς ἀνωμαλίας παρόδῳ, καὶ διαχθῇ τις εὐθεῖα ἐπὶ τοῦ ἐκκέντρου κύκλου διὰ τοῦ κέντρου τοῦ ζῳδιακοῦ, τουτέστι τῆς ὄψεως, οὕτως ἔχουσα ὥστε τὴν ἡμίσειαν αὐτῆς ὅλης πρὸς τὸ ἔλασσον τῶν ὑπὸ τῆς ὄψεως γινομένων τμημάτων λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος, κατ' ἐκεῖνο τὸ σημεῖον γιγνόμενος ὁ ἀστήρ, καθ' ὃ τέμνει ἡ εὐθεῖα τὴν περίγειον τοῦ ἐκκέντρου περιφέρειαν, τὴν τῶν στηριγμῶν φαντασίαν ποιήσεται.

De demonstrationibus Apollonii u. Delambre apud Halma II[2] p. 19.

Cfr. Procli hypotyposes p. 128 ed. Halma: *ἔστι μὲν οὖν Ἀπολλωνίου τοῦ Περγαίου τὸ εὕρημα, χρῆται δὲ αὐτῷ ὁ Πτολεμαῖος ἐν τῷ ιβ' τῆς συντάξεως.*

60. Hippolytus refutat. omnium haeres. IV, 8 p. 66 ed. Duncker:

Καὶ ἀπόστημα δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἐπὶ τὸν σεληνιακὸν κύκλον ὁ μὲν Σάμιος Ἀρίσταρχος ἀναγράφει σταδίων .... ὁ δὲ Ἀπολλώνιος μυριάδων φ̄.

De numero aut corrupto aut ab Hippolyto male intellecto u. Tannery Mémoires de la société des sciences physiques et naturelles de Bordeaux, 2^e^ série, V p. 254.

61. Ptolemaeus Chennus apud Photium cod. CXC p. 151b 18 ed. Bekker:

Ἀπολλώνιος δ' ὁ ἐν τοῖς τοῦ Φιλοπάτορος χρόνοις ἐπ' ἀστρονομίᾳ περιβόητος γεγονὼς ε̄ ἐκαλεῖτο, διότι τὸ σχῆμα τοῦ ε̄ συμπεριφέρεται τῷ τῆς σελήνης, περὶ ἣν ἐκεῖνος μάλιστα ἠκρίβωτο.

Optica.

62. Fragmentum mathematicum Bobiense ed. Belger Hermes XVI p. 279 sq. (quae male legerat ille, emendaui Zeitschr. f. Math. u. Phys. XXVIII, hist. Abth. p. 124 sq.):

Οἱ μὲν οὖν παλαιοὶ ὑπέλαβον τὴν ἔξαψιν ποιεῖσθαι περὶ τὸ κέντρον τοῦ κατόπτρου, τοῦτο δὲ ψεῦδος Ἀπολλώνιος μάλα δεόντως ..... (ἐν τῷ) πρὸς τοὺς κατοπτρικοὺς ἔδειξεν, καὶ περὶ τίνα δὲ τόπον ἡ ἐκπύρωσις ἔσται, διασεσάφηκεν ἐν τῷ περὶ τοῦ πυρίου. ὃν δὲ τρόπον ἀποδεικνύουσιν, οὐ δια .... δε, ὃ καὶ δυσέργως καὶ διὰ μακροτέρων συνίστησιν. οὐ μὴν ἀλλὰ τὰς μὲν ὑπ' αὐτοῦ κομιζομένας ἀποδείξεις παρῶμεν.

COMMENTARIA ANTIQUA.

I.

PAPPI
LEMMATA IN CONICORUM LIBROS I—IV.

Pappus VII, 233—272 p. 918, 22—952, 23 ed. Hultsch.

Τοῦ α'.

α'. Ἔστω κῶνος, οὗ βάσις μὲν ὁ AB κύκλος, κορυφὴ δὲ τὸ Γ σημεῖον. εἰ μὲν οὖν ἰσοσκελής ἐστιν ὁ κῶνος, φανερόν, ὅτι πᾶσαι αἱ ἀπὸ τοῦ Γ πρὸς τὸν AB κύκλον προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν, εἰ δὲ σκαληνός, ἔστω εὑρεῖν, τίς μεγίστη καὶ τίς ἐλαχίστη.

ἤχθω γαρ ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὸ τοῦ AB κύκλου ἐπίπεδον κάθετος καὶ πιπτέτω πρότερον ἐντὸς τοῦ AB κύκλου καὶ ἔστω ἡ $\Gamma\Delta$, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ E, καὶ ἐπιζευχθεῖσα ἡ ΔE ἐκβεβλήσθω ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ A, B σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ $A\Gamma$, ΓB. λέγω, ὅτι μεγίστη μέν ἐστιν ἡ $B\Gamma$, ἐλαχίστη δὲ ἡ $A\Gamma$ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὸν AB προσπιπτουσῶν.



προσβεβλήσθω γάρ τις καὶ ἑτέρα ἡ ΓZ, καὶ ἐπεζεύχθω ἡ ΔZ· μείζων ἄρα ἐστὶν ἡ $B\Delta$ τῆς ΔZ

[Eucl. III, 7]. κοινὴ δὲ ἡ ΓΔ, καί εἰσιν αἱ πρὸς τῷ Δ γωνίαι ὀρθαί· μείζων ἄρα ἐστὶν ἡ ΒΓ τῆς ΓΖ. κατὰ τὰ αὐτὰ καὶ ἡ ΓΖ τῆς ΓΑ μείζων ἐστίν· ὥστε μεγίστη μέν ἐστιν ἡ ΓΒ, ἐλαχίστη δὲ ἡ ΓΑ.

β΄. Ἀλλὰ δὴ πάλιν ἡ ἀπὸ τοῦ Γ κάθετος ἀγομένη πιπτέτω ἐπὶ τῆς περιφερείας τοῦ ΑΒ κύκλου καὶ ἔστω ἡ ΓΑ, καὶ πάλιν ἐπὶ τὸ κέντρον τοῦ κύκλου τὸ Δ ἐπεζεύχθω ἡ ΑΔ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΒΓ. λέγω, ὅτι μεγίστη μέν ἐστιν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΑΓ.



ὅτι μὲν οὖν μείζων ἡ ΓΒ τῆς ΓΑ, φανερόν [Eucl. I, 19]. διήχθω δέ τις καὶ ἑτέρα ἡ ΓΕ, καὶ ἐπεζεύχθω ἡ ΑΕ. ἐπεὶ διάμετρός ἐστιν ἡ ΑΒ, μείζων ἐστὶν τῆς ΑΕ [Eucl. III, 15]. καὶ αὐταῖς πρὸς ὀρθὰς ἡ ΑΓ [Eucl. XI def. 3]· μείζων ἄρα ἐστὶν ἡ ΓΒ τῆς ΓΕ. ὁμοίως καὶ πασῶν. καὶ κατὰ τὰ αὐτὰ μείζων δειχθήσεται ἡ ΕΓ τῆς ΓΑ. ὥστε μεγίστη μὲν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΓΑ τῶν ἀπὸ τοῦ Γ σημείου πρὸς τὸν ΑΒ κύκλον προσπιπτουσῶν εὐθειῶν.

γ΄. Τῶν αὐτῶν ὑποκειμένων πιπτέτω ἡ κάθετος ἐκτὸς τοῦ κύκλου καὶ ἔστω ἡ ΓΔ, καὶ ἐπὶ τὸ κέντρον τοῦ κύκλου τὸ Ε ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΒΓ. λέγω δή, ὅτι μεγίστη μέν ἐστιν ἡ ΒΓ, ἐλαχίστη δὲ ἡ ΑΓ πασῶν τῶν ἀπὸ τοῦ Γ πρὸς τὸν ΑΒ κύκλον προσπιπτουσῶν εὐθειῶν.

ὅτι μὲν οὖν μείζων ἐστὶν ἡ ΒΓ τῆς ΓΑ, φανερόν [Eucl. I, 19]. λέγω δή, ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Γ

30. δή] δέ Hultsch.



πρὸς τὴν τοῦ *ΑΒ* κύκλου περιφέρειαν προσπιπτουσῶν. προσπιπτέτω γάρ τις καὶ ἑτέρα ἡ *ΓΖ*, καὶ ἐπεζεύχθω ἡ *ΔΖ*. ἐπεὶ οὖν διὰ τοῦ κέντρου ἐστὶν ἡ *ΒΔ*, μείζων ἐστὶν ἡ *ΔΒ* τῆς *ΔΖ* [Eucl. III, 8]. καί ἐστιν αὐταῖς ὀρθὴ ἡ *ΔΓ*, ἐπεὶ καὶ τῷ ἐπιπέδῳ [Eucl. XI def. 3]· μείζων ἄρα ἐστὶν ἡ *ΒΓ* τῆς *ΓΖ*. ὁμοίως καὶ πασῶν. μεγίστη μὲν ἄρα ἐστὶν ἡ *ΓΒ*· ὅτι δὲ καὶ ἡ *ΑΓ* ἐλαχίστη. ἐπεὶ γὰρ ἐλάσσων ἐστὶν ἡ *ΑΔ* τῆς *ΔΖ*, καί ἐστιν αὐταῖς ὀρθὴ ἡ *ΔΓ*, ἐλάσσων ἄρα ἐστὶν ἡ *ΑΓ* τῆς *ΓΖ*. ὁμοίως καὶ πασῶν. ἐλαχίστη ἄρα ἐστὶν ἡ *ΑΓ*, μεγίστη δὲ ἡ *ΒΓ* πασῶν τῶν ἀπὸ τοῦ *Γ* πρὸς τὴν τοῦ *ΑΒ* κύκλου περιφέρειαν προσπιπτουσῶν εὐθειῶν.

Εἰς τοὺς κωνικοὺς ὅρους.

Ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν [I p. 6, 2] εἰκότως ὁ Ἀπολλώνιος προστίθησιν καὶ ἐφ᾽ ἑκάτερα ἐκβληθῇ [p. 6, 4], ἐπειδήπερ τοῦ τυχόντος κώνου γένεσιν δηλοῖ. εἰ μὲν γὰρ ἰσοσκελὴς ὁ κῶνος, περισσὸν ἦν προσεκβάλλειν διὰ τὸ τὴν φερομένην εὐθεῖαν αἰεί ποτε ψαύειν τῆς τοῦ κύκλου περιφερείας, ἐπειδήπερ πάντοτε τὸ σημεῖον ἴσον ἀφέξειν ἔμελλεν τῆς τοῦ κύκλου περιφερείας. ἐπεὶ δὲ δύναται

23. καί] om. Hultsch. προσεκβληθῇ Hultsch.

καὶ σκαληνὸς εἶναι ὁ κῶνος, ἔστιν δέ, ὡς προγέγραπται, ἐν κώνῳ σκαληνῷ μεγίστη τις καὶ ἐλαχίστη πλευρά, ἀναγκαίως προστίθησιν τὸ προσεκβεβλήσθω, ἵνα αἰεὶ προσεκβληθεῖσα ἡ ἐλαχίστη ἀεὶ τῆς μεγίστης αὔξηται προσεκβαλλομένης, ἕως ἴση γένηται τῇ μεγίστῃ καὶ φαύσῃ κατ' ἐκεῖνο τῆς τοῦ κύκλου περιφερείας.

δ'. Ἔστω γραμμὴ ἡ ΑΒΓ, καὶ θέσει ἡ ΑΓ, πᾶσαι δὲ αἱ ἀπὸ τῆς γραμμῆς ἐπὶ τὴν ΑΓ κάθετοι ἀγόμεναι οὕτως ἀγέσθωσαν, ὥστε τὸ ἀπὸ ἑκάστης αὐτῶν τετράγωνον ἴσον εἶναι τῷ περιεχομένῳ ὑπὸ τῶν τῆς βάσεως τμημάτων τῶν ὑφ' ἑκάστης ἀποτμηθέντων. λέγω, ὅτι κύκλου περιφέρειά ἐστιν ἡ ΑΒΓ, διάμετρος δὲ αὐτῆς ἐστιν ἡ ΑΓ.



ἤχθωσαν γὰρ ἀπὸ σημείων τῶν Δ, Β, Ε κάθετοι αἱ ΔΖ, ΒΗ, ΕΘ. τὸ μὲν ἄρα ἀπὸ ΔΖ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΖΓ, τὸ δὲ ἀπὸ ΒΗ τῷ ὑπὸ ΑΗΓ, τὸ δὲ ἀπὸ ΕΘ τῷ ὑπὸ ΑΘΓ. τετμήσθω δὴ δίχα ἡ ΑΓ κατὰ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΚ, ΚΒ, ΚΕ. ἐπεὶ οὖν τὸ ὑπὸ ΑΖΓ μετὰ τοῦ ἀπὸ ΖΚ ἴσον ἐστὶν τῷ ἀπο ΑΚ [Eucl. II, 5], ἀλλὰ τῷ ὑπὸ ΑΖΓ ἴσον ἐστὶν τὸ ἀπὸ ΔΖ, τὸ ἄρα ἀπὸ ΔΖ μετὰ τοῦ ἀπὸ ΖΚ, τουτέστιν τὸ ἀπὸ ΔΚ [Eucl. I, 47], ἴσον ἐστὶν τῷ ἀπὸ ΑΚ· ἴση ἄρα ἐστὶν ἡ ΑΚ τῇ ΚΔ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκατέρα τῶν ΒΚ, ΕΚ ἴση ἐστὶν τῇ ΑΚ ἢ τῇ ΚΓ· κύκλου ἄρα περιφέρειά ἐστιν ἡ ΑΒΓ

3. προσεκβληθῇ Hultsch cum Halleio. 4. ἀεὶ τῆς μεγίστης et 5. προσεκβαλλομένης del. Halley. 9. ἀγέσθωσαν] del. Hultsch. 11. τῶν ὑφ'] scripsi, ὑφ' codd., ἀφ' Hultsch cum Halleio. ἀποτμηθέντων] scripsi, ἀπὸ τῶν τμηθέντων codd., αὐτῶν τμηθέντων Hultsch cum Halleio.

τοῦ περὶ κέντρον τὸ *Κ*, τουτέστιν τοῦ περὶ διάμετρον τὴν *ΑΓ*.

ε'. Τρεῖς παράλληλοι αἱ *ΑΒ*, *ΓΔ*, *ΕΖ*, καὶ διήχθωσαν εἰς αὐτὰς δύο εὐθεῖαι αἱ *ΑΗΖΓ*, *ΒΗΕΔ*· ὅτι γίνεται, ὡς τὸ ὑπὸ *ΑΒ*, *ΕΖ* πρὸς τὸ ἀπὸ *ΓΔ*, οὕτως τὸ ὑπὸ *ΑΗΖ* πρὸς τὸ ἀπὸ *ΗΓ* τετράγωνον.

ἐπεὶ γάρ ἐστιν [Eucl. VI, 4], ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΖΕ*, τουτέστιν ὡς τὸ ὑπὸ *ΑΒ*, *ΖΕ* πρὸς τὸ ἀπὸ *ΖΕ*,



οὕτως ἡ *ΑΗ* πρὸς τὴν *ΗΖ*, τουτέστιν τὸ ὑπὸ *ΑΗΖ* πρὸς τὸ ἀπὸ *ΗΖ*, ὡς ἄρα τὸ ὑπὸ *ΑΒ*, *ΖΕ* πρὸς τὸ ἀπὸ *ΖΕ*, οὕτως τὸ ὑπὸ *ΑΗΖ* πρὸς τὸ ἀπὸ *ΗΖ*. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ *ΖΕ* πρὸς τὸ ἀπὸ *ΓΔ*, οὕτως ἐστὶν τὸ ἀπὸ *ΖΗ* πρὸς τὸ ἀπὸ *ΗΓ* [Eucl. VI, 4]· δι' ἴσου ἄρα ἐστίν, ὡς τὸ ὑπὸ *ΑΒ*, *ΖΕ* πρὸς τὸ ἀπὸ *ΓΔ* τετράγωνον, οὕτως τὸ ὑπὸ *ΑΗΖ* πρὸς τὸ ἀπὸ *ΗΓ* τετράγωνον.

ϛ'. Ἔστω, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως ἡ *ΑΔ* πρὸς τὴν *ΔΓ*, καὶ τετμήσθω ἡ *ΑΓ* δίχα κατὰ τὸ *Ε* σημεῖον· ὅτι γίνεται τὸ μὲν ὑπὸ *ΒΕΔ* ἴσον τῷ ἀπὸ *ΕΓ*, τὸ δὲ ὑπὸ *ΑΔΓ* τῷ ὑπὸ *ΒΔΕ*, τὸ δὲ ὑπὸ *ΑΒΓ* τῷ ὑπὸ *ΕΒΔ*.

ἐπεὶ γάρ ἐστιν, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως ἡ *ΑΔ* πρὸς τὴν *ΔΓ*, συνθέντι καὶ τὰ ἡμίση τῶν ἡγουμένων καὶ ἀναστρέψαντί ἐστιν, ὡς ἡ *ΒΕ* πρὸς τὴν *ΕΓ*, οὕτως ἡ *ΓΕ* πρὸς τὴν *ΕΔ*· τὸ ἄρα ὑπὸ *ΒΕΔ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΓΕ* τετραγώνῳ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ *ΕΔ* τετράγωνον· λοιπὸν [Eucl. II, 5] ἄρα τὸ *ὑπὸ ΑΔΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔΕ* [Eucl. II, 3]. *ἐπεὶ δὲ τὸ ὑπὸ ΒΕΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΕΓ, ἀμφότερα ἀφῃρήσθω ἀπὸ τοῦ ἀπὸ τῆς ΒΕ τετραγώνου· λοιπὸν* [Eucl. II, 6] *ἄρα τὸ ὑπὸ ΑΒΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΕΒΔ* [Eucl. II, 2]. *γίνεται ἄρα τὰ τρία.*

ζ'. Τὸ Α πρὸς τὸ Β τὸν συνημμένον λόγον ἐχέτω ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Δ καὶ ἐξ οὗ ὃν ἔχει τὸ Ε πρὸς τὸ Ζ· ὅτι καὶ τὸ Γ πρὸς τὸ Δ τὸν συνημμένον λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Α πρὸς τὸ Β καὶ τὸ Ζ πρὸς τὸ Ε.

τῷ γὰρ τοῦ Ε πρὸς τὸ Ζ λόγῳ ὁ αὐτὸς πεποιήσθω ὁ τοῦ Δ πρὸς τὸ Η. ἐπεὶ οὖν ὁ τοῦ Α πρὸς τὸ Β συνῆπται ἔκ τε τοῦ τοῦ Γ πρὸς Δ καὶ τοῦ τοῖ Ε πρὸς Ζ, τουτέστιν τοῦ Δ πρὸς τὸ Η, ἀλλὰ ὁ συνημμένος ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Δ καὶ ἐξ οὗ ὃν ἔχει τὸ Δ πρὸς τὸ Η ἐστιν ὁ τοῦ Γ πρὸς τὸ Η, ὡς ἄρα τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Η. ἐπεὶ δὲ τὸ Γ πρὸς τὸ Δ τὸν συνημμένον λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Γ πρὸς τὸ Η καὶ ἐξ οὗ ὃν ἔχει τὸ Η πρὸς τὸ Δ, ἀλλ' ὁ μὲν τοῦ Γ πρὸς τὸ Η ὁ αὐτὸς ἐδείχθη τῷ τοῦ Α πρὸς τὸ Β, ὁ δὲ τοῦ Η πρὸς τὸ Δ ἐκ τοῦ ἀνάπαλιν ὁ αὐτός ἐστιν τῷ τοῦ Ζ πρὸς τὸ Ε, καὶ τὸ Γ ἄρα πρὸς τὸ Δ τὸν συνημμένον λόγον ἔχει ἔκ τε τοῦ ὃν ἔχει τὸ Α πρὸς τὸ Β καὶ ἐξ οὗ ὃν ἔχει τὸ Ζ πρὸς τὸ Ε.

η'. Ἔστω δύο παραλληλόγραμμα τὰ ΑΓ, ΔΖ ἰσογώνια ἴσην ἔχοντα τὴν Β γωνίαν τῇ Ε γωνίᾳ· ὅτι γίνεται, ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΔΕΖ, οὕτως

---

2. *ἀμφότερα*] *ἑκάτερον* Hultsch. 13. *Δ*] *το Δ* Hultsch. 14. Z] *τὸ Z* Hultsch cum Halleio.

τὸ *ΑΓ* παραλληλόγραμμον πρὸς τὸ *ΔΖ* παραλληλόγραμμον.

εἰ μὲν οὖν ὀρθαί εἰσιν αἱ *Β*, *Ε* γωνίαι, φανερόν· εἰ δὲ μή, ἤχθωσαν κάθετοι αἱ *ΑΗ*, *ΔΘ*. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν *Β* γωνία τῇ *Ε*, ἡ δὲ *Η* ὀρθὴ τῇ *Θ*, ἰσογώνιον ἄρα ἐστὶν τὸ *ΑΒΗ* τρίγωνον τῷ *ΔΕΘ* τριγώνῳ· ἔστιν ἄρα, ὡς ἡ *ΒΑ* πρὸς τὴν *ΑΗ*, οὕτως ἡ *ΕΔ* πρὸς τὴν *ΔΘ* [Eucl. VI, 4]. ἀλλ' ὡς μὲν ἡ *ΒΑ* προς τὴν *ΑΗ*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΑΒΓ* πρὸς τὸ ὑπὸ *ΑΗ*, *ΒΓ*, ὡς δὲ ἡ *ΕΔ* πρὸς τὴν *ΔΘ*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΔΕΖ* πρὸς τὸ ὑπὸ *ΔΘ*, *ΕΖ*· ἔστιν ἄρα ἐναλλάξ, ὡς τὸ ὑπὸ *ΑΒΓ* πρὸς τὸ ὑπὸ *ΔΕΖ*, οὕτως τὸ ὑπὸ *ΑΗ*, *ΒΓ*, τουτέστιν τὸ *ΑΓ* παραλληλόγραμμον, πρὸς τὸ ὑπὸ *ΔΘ*, *ΕΖ*, τουτέστιν πρὸς τὸ *ΔΖ* παραλληλόγραμμον.



θ'. Ἔστω τρίγωνον τὸ *ΑΒΓ*, ἔστω δὲ παράλληλος ἡ *ΒΓ* τῇ *ΔΕ*, καὶ τῷ ἀπὸ τῆς *ΓΑ* ἴσον κείσθω τὸ ὑπὸ *ΖΑΕ*· ὅτι, ἐὰν ἐπιζευχθῶσιν αἱ *ΔΓ*, *ΒΖ*, γίνεται παράλληλος ἡ *ΒΖ* τῇ *ΔΓ*.



τοῦτο δέ ἐστιν φανερόν. ἐπεὶ γάρ ἐστιν, ὡς ἡ *ΖΑ* πρὸς τὴν *ΑΓ*, οὕτως ἡ *ΓΑ* πρὸς τὴν *ΑΕ*, ὡς δὲ ἡ *ΓΑ* προς τὴν *ΑΕ*, οὕτως ἐστὶν ἐν παραλλήλῳ ἡ *ΒΑ* πρὸς *ΑΔ* [Eucl. VI, 4], καὶ ὡς ἄρα ἡ *ΖΑ* πρὸς *ΑΓ*,

19. τῇ *ΒΓ* ἡ *ΔΕ* coni. Hultsch.

οὕτως ἡ ΒΑ πρὸς ΑΔ· παράλληλοι ἄρα εἰσὶν αἱ ΔΓ, ΒΖ [Eucl. VI, 4].

ι'. Ἔστω τρίγωνον μὲν τὸ ΑΒΓ, τραπέζιον δὲ τὸ ΔΕΖΗ, ὥστε ἴσην εἶναι τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΕΖ γωνίᾳ· ὅτι γίνεται, ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΕ, οὕτως τὸ ΑΒΓ πρὸς τὸ ΔΕΖΗ.

ἤχθωσαν κάθετοι αἱ ΑΘ, ΔΚ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ γωνίᾳ, ἡ δὲ Θ ὀρθὴ τῇ Κ ὀρθῇ ἴση, ἔστιν ἄρα, ὡς ἡ ΒΑ πρὸς ΑΘ, οὕτως ἡ ΕΔ πρὸς ΔΚ [Eucl. VI, 4]. ἀλλ' ὡς μὲν ἡ ΒΑ πρὸς ΑΘ, οὕτως ἐστὶν τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ ΑΘ, ΒΓ, ὡς δὲ ἡ ΕΔ πρὸς τὴν ΔΚ, οὕτως ἐστὶν τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΕ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΚ. καί ἐστιν τοῦ μὲν ὑπὸ ΑΘ, ΒΓ ἥμισυ τὸ ΑΒΓ τρίγωνον, τοῦ δὲ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΚ ἥμισυ τὸ ΔΕΖΗ τραπέζιον· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΕ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖΗ τραπέζιον.



καὶ ἐὰν ᾖ δὲ τρίγωνον τὸ ΑΒΓ καὶ παραλληλόγραμμον τὸ ΔΖ, γίνεται, ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖΗ παραλληλόγραμμον, οὕτως τὸ ὑπὸ ΑΒΓ πρὸς τὸ δὶς ὑπὸ ΔΕΖ, κατὰ τὰ αὐτά. καὶ φανερὸν ἐκ τούτων, ὅτι τὸ μὲν ὑπὸ ΑΒΓ, ἐὰν ᾖ παραλληλό-

8. ἐπεὶ οὖν ἴση coni. Hultsch. 24. — p. 151, 4] suspecta Hultschio. 24. δέ] del. Hultsch.

γραμμον τὸ ΔΖ ἴσον τῷ ΑΒΓ τριγώνῳ, ἴσον γίνεται τῷ δὶς ὑπὸ ΔΕΖ, ἐπὶ δὲ τοῦ τραπεζίου ἴσον γίνεται τῷ ὑπὸ συναμφοτέρου τῆς ΔΗ, ΕΖ καὶ τῆς ΔΕ· ὅπερ ἔδει δεῖξαι.

ια΄. Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ ἐκβληθείσης τῆς ΓΑ διήχθω τις τυχοῦσα ἡ ΔΕ, καὶ αὐτῇ μὲν παράλληλος ἤχθω ἡ ΑΗ, τῇ δὲ ΒΓ ἡ ΑΖ· ὅτι γίνεται, ὡς τὸ ἀπὸ ΑΗ τετράγωνον πρὸς τὸ ὑπὸ ΒΗΓ, οὕτως τὸ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὸ ΖΑ τετράγωνον.

κείσθω τῷ μὲν ὑπὸ ΒΗΓ ἴσον τὸ ὑπὸ ΑΗΚ, τῷ δὲ ὑπὸ ΔΖΘ ἴσον τὸ ὑπὸ ΑΖΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ, ΘΛ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ Γ γωνία τῇ



ὑπὸ ΒΚΗ, ἡ δὲ ὑπὸ ΔΑΛ ἐν κύκλῳ ἴση ἐστὶν τῇ ὑπὸ ΖΘΛ [Eucl. III, 35; III, 21], *καὶ ἡ ὑπὸ ΗΚΒ ἄρα ἴση ἐστὶν τῇ ὑπὸ ΖΘΛ γωνίᾳ. ἀλλὰ καὶ ἡ πρὸς τῷ Η γωνία ἴση ἐστὶν τῇ πρὸς τῷ Ζ· ἔστιν ἄρα, ὡς ἡ ΒΗ πρὸς τὴν ΗΚ, οὕτως ἡ ΛΖ πρὸς τὴν ΖΘ* [Eucl. VI, 4]. *ἐπεὶ δέ ἐστιν, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΕΒ, ὡς δὲ ἡ ΘΕ πρὸς ΕΒ, οὕτως ἐστὶν ἐν παραλλήλῳ ἡ ΖΘ πρὸς ΖΑ* [Eucl. VI, 4], *ἔστιν ἄρα, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΘΖ πρὸς ΖΑ. ἐπεὶ οὖν ἐστιν, ὡς μὲν ἡ ΑΗ πρὸς ΗΒ, οὕτως ἡ ΘΖ πρὸς ΖΑ, ὡς δὲ ἡ ΒΗ πρὸς ΗΚ, οὕτως ἄλλη τις ἡ ΛΖ πρὸς τὴν ἡγουμένην τὴν ΖΘ, δι' ἴσου ἄρα ἐν τεταραγμένῃ ἀναλογίᾳ, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΚ, οὕτως ἡ ΛΖ πρὸς τὴν ΖΑ* [Eucl. V, 23]. *ἀλλ' ὡς*

---

1. *ἴσον* (pr.)] om. codd., *καὶ ἴσον* Hultsch cum Halleio. *τῷ ΑΒΓ τριγώνῳ*] Hultsch cum Halleio, om. codd. 4. *ἔδει δεῖξαι*] : ∼ codd.

μὲν ἡ ΑΗ πρὸς ΗΚ, οὕτως ἐστὶν τὸ ἀπὸ ΑΗ πρὸς τὸ ὑπὸ ΑΗΚ, τουτέστιν πρὸς τὸ ὑπὸ ΒΗΓ, ὡς δὲ ἡ ΔΖ πρὸς ΖΑ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΖΑ, τουτέστιν τὸ ὑπὸ ΔΖΘ, πρὸς τὸ ἀπὸ ΖΑ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΑΗ πρὸς τὸ ὑπὸ ΒΗΓ, οὕτως τὸ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὶ ΖΑ.

διὰ δὲ τοῦ συνημμένου. ἐπεὶ ὁ μὲν τῆς ΑΗ πρὸς ΗΒ λόγος ἐστὶν ὁ τῆς ΘΕ πρὸς ΕΒ, τουτέστιν ὁ τῆς ΘΖ πρὸς ΖΑ [Eucl. VI, 4], ὁ δὲ τῆς ΑΗ πρὸς τὴν ΗΓ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΔΕ πρὸς ΕΓ, τουτέστιν τῷ τῆς ΔΖ πρὸς ΖΑ [Eucl. VI, 4], ὁ ἄρα συνημμένος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΗ πρὸς ΗΒ καὶ τοῦ ὃν ἔχει ἡ ΑΗ πρὸς ΗΓ, ὅς ἐστιν ὁ τοῦ ἀπὸ ΑΗ πρὸς τὸ ὑπὸ ΒΗΓ, ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΘΖ πρὸς ΖΑ καὶ τοῦ τῆς ΔΖ πρὸς ΖΑ, ὅς ἐστιν ὁ τοῦ ὑπὸ ΔΖΘ πρὸς τὸ ἀπὸ ΖΑ τετράγωνον.

Τοῦ β′.

α′. Δύο δοθεισῶν τῶν ΑΒ, ΒΓ καὶ εὐθείας τῆς ΔΕ εἰς τὰς ΑΒ, ΒΓ ἐναρμόσαι εὐθεῖαν ἴσην τῇ ΔΕ καὶ παράλληλον αὐτῇ.

τοῦτο δὲ φανερόν. ἐὰν γὰρ διὰ τοῦ Ε τῇ ΑΒ παράλληλον ἀγάγωμεν τὴν ΕΓ, διὰ δὲ τοῦ Γ τῇ ΔΕ παράλληλος ἀχθῇ ἡ ΓΑ, ἔσται διὰ τὸ παραλληλόγραμμον εἶναι τὸ ΑΓΕΔ ἡ ΑΓ ἴση τῇ ΔΕ [Eucl. I, 34] καὶ παράλληλος· καὶ ἐνήρμοσται εἰς τὰς δοθείσας εὐθείας τὰς ΑΒ, ΒΓ.



β′. Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ ἔστω, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καὶ *παράλληλος ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ· ὅτι καὶ ἡ ΑΓ τῇ ΔΖ ἐστιν παράλληλος.*

ἐκβεβλήσθω ἡ ΒΓ καὶ συμπιπτέτω ταῖς ΔΕ, ΔΖ κατὰ τὰ Η, Θ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καί εἰσιν ἴσαι αἱ Β, Ε γωνίαι διὰ τὸ εἶναι δύο παρὰ δύο, ἴση ἄρα ἐστὶν καὶ ἡ Γ τῇ Ζ [Eucl. VI, 6], *τουτέστιν τῇ Θ* [Eucl. I, 29] *διὰ τὸ παραλλήλους εἶναι τὰς ΕΖ, ΗΘ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΔΘ* [Eucl. I, 28].



γʹ. Εὐθεῖα ἡ ΑΒ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΓ, ΔΒ, καὶ μεταξὺ τῶν Γ, Δ εἰλήφθω τυχὸν σημεῖον τὸ Ε· ὅτι τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΕΒ.



τετμήσθω ἡ ΓΔ δίχα, ὅπως ἂν ἔχῃ ὡς πρὸς τὸ Ε σημεῖον, κατὰ τὸ Ζ. καὶ ἐπεὶ τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ἀπὸ ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΖΒ [Eucl. II, 5], *ἀλλὰ τῷ μὲν ἀπὸ ΖΔ ἴσον ἐστὶν τὸ ὑπὸ ΓΕΔ μετὰ τοῦ ἀπὸ ΖΕ* [Eucl. II, 5], *τῷ δὲ ἀπὸ ΖΒ ἴσον ἐστὶν τὸ ὑπὸ ΑΕΒ μετὰ τοῦ ἀπὸ ΖΕ* [Eucl. II, 5], *τὸ ἄρα ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ καὶ τοῦ ἀπὸ ΖΕ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΑΕΒ καὶ τῷ ἀπὸ ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΑΕΒ.*

δʹ. Εὐθεῖα ἡ ΑΒ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΓ, ΔΒ, καὶ μεταξὺ τῶν Γ, Δ εἰλήφθω τυχὸν σημεῖον τὸ Ε·

---

16. ὅπως — 17. σημεῖον] del. Hultsch.

ὅτι τὸ ὑπὸ τῶν AEB ἴσον ἐστὶν τῷ τε ὑπὸ τῶν $\Gamma E\Delta$ καὶ τῷ ὑπὸ $\Delta A\Gamma$.



τετμήσθω γὰρ ἡ $\Gamma\Delta$ δίχα, ὅπως ἂν ἔχῃ ὡς πρὸς τὸ E σημεῖον, κατὰ τὸ Z· καὶ ὅλη ἄρα ἡ AZ τῇ ZB ἴση ἐστίν. τὸ μὲν ἄρα ὑπὸ AEB μετὰ τοῦ ἀπὸ EZ ἴσον ἐστὶν τῷ ἀπὸ AZ [Eucl. II, 5], τὸ δὲ ὑπὸ $\Delta A\Gamma$ μετὰ τοῦ ἀπὸ ΓZ ἴσον ἐστὶν τῷ ἀπὸ AZ [Eucl. II, 6]· ὥστε τὸ ὑπὸ AEB μετὰ τοῦ ἀπὸ EZ ἴσον ἐστὶν τῷ ὑπὸ $\Delta A\Gamma$ καὶ τῷ ἀπὸ ΓZ. ἀλλὰ τὸ ἀπὸ ΓZ ἴσον ἐστὶν τῷ τε ὑπὸ $\Gamma E\Delta$ καὶ τῷ ἀπὸ EZ [Eucl. II, 5]· καὶ κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ EZ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ AEB ἴσον ἐστὶν τῷ τε ὑπὸ $\Gamma E\Delta$ καὶ τῷ ὑπὸ $\Delta A\Gamma$.

ε'. Ἔστω δύο τρίγωνα τὰ $AB\Gamma$, ΔEZ, καὶ ἔστω ἴση ἡ μὲν Γ τῇ Z, μείζων δὲ ἡ B τῆς E· ὅτι ἡ $B\Gamma$ πρὸς ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ EZ πρὸς $Z\Delta$.



συνεστάτω τῇ E γωνίᾳ ἴση ἡ ὑπὸ ΓBH· ἔστιν δὲ καὶ ἡ Γ τῇ Z ἴση· ἔστιν ἄρα, ὡς ἡ $B\Gamma$ πρὸς ΓH, οὕτως ἡ EZ πρὸς $Z\Delta$ [Eucl. VI, 4]. ἀλλὰ ἡ $B\Gamma$ πρὸς τὴν ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ $B\Gamma$ πρὸς ΓH [Eucl. V, 8]· καὶ ἡ $B\Gamma$ ἄρα πρὸς ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ EZ πρὸς $Z\Delta$.

ϛ'. Ἐχέτω δὴ πάλιν ἡ $B\Gamma$ πρὸς ΓA μείζονα λόγον

3. ὅπως — 4. σημεῖον] del. Hultsch.

ἤπερ ἡ ΕΖ πρὸς ΖΔ, ἴση δὲ ἔστω ἡ Γ γωνία τῇ Ζ· ὅτι πάλιν γίνεται ἐλάσσων ἡ Β γωνία τῆς Ε γωνίας.

ἐπεὶ γὰρ ἡ ΒΓ πρὸς ΓΑ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΔ, ἐὰν ἄρα ποιῶ, ὡς τὴν ΒΓ πρὸς



τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρός τινα, ἔσται πρὸς ἐλάσσονα τῆς ΖΔ [Eucl. V, 10]. ἔστω πρὸς τὴν ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΕΗ. καὶ περὶ ἴσας γωνίας ἀνάλογόν εἰσιν αἱ πλευραί· ἴση ἄρα ἐστὶν ἡ Β γωνία τῇ ὑπὸ ΖΕΗ [Eucl. VI, 6] ἐλάσσονι οὔσῃ τῆς Ε.

ζ'. Ἔστω ὅμοια τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ διήχθωσαν αἱ ΑΗ, ΔΘ οὕτως, ὥστε εἶναι, ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ· ὅτι γίνεται ὅμοιον καὶ τὸ ΑΗΓ τρίγωνον τῷ ΔΘΖ τριγώνῳ.

ἐπεὶ γάρ ἐστιν, ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ, ἀλλ' ὁ μὲν τοῦ



ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ λόγος συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ τοῦ τῆς ΗΓ πρὸς ΓΑ, ὁ δὲ τοῦ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ συνῆπται ἔκ τε τοῦ τῆς ΕΖ πρὸς ΖΔ καὶ τοῦ τῆς ΘΖ πρὸς ΖΔ, ὧν ὁ τῆς ΒΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΕΖ πρὸς ΖΔ [Eucl. VI, 4] διὰ τὴν ὁμοιότητα τῶν τριγώνων, λοιπὸν ἄρα ὁ τῆς ΗΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΘΖ πρὸς ΖΔ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶν τὸ ΑΓΗ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ [Eucl. VI, 6].

η'. Διὰ μὲν οὖν τοῦ συνημμένου λόγου, ὡς προγέγραπται, ἔστω δὲ νῦν ἀποδεῖξαι μὴ προσχρησάμενον τῷ συνημμένῳ λόγῳ.

κείσθω τῷ μὲν ὑπὸ ΒΓΗ ἴσον τὸ ὑπὸ ΑΓΚ· ἔστιν ἄρα, ὡς ἡ ΒΓ πρὸς τὴν ΓΚ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΗ. τῷ δὲ ὑπὸ ΕΖΘ ἴσον κείσθω τὸ ὑπὸ ΔΖΛ· ἔστιν ἄρα, ὡς ἡ ΕΖ πρὸς ΖΛ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ. ὑπόκειται δέ, ὡς τὸ ὑπὸ ΒΓΗ, τουτέστιν τὸ ὑπὸ ΑΓΚ, πρὸς τὸ ἀπὸ ΑΓ, τουτέστιν ὡς ἡ ΚΓ πρὸς ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ, τουτέστιν τὸ ὑπὸ ΔΖΛ, πρὸς τὸ ἀπὸ ΔΖ, τουτέστιν ἡ ΛΖ πρὸς ΖΔ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς ΓΑ, οὕτως ἡ ΕΖ πρὸς ΖΔ [Eucl. VI, 4] *διὰ τὴν ὁμοιότητα· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΚ, οὕτως ἡ ΕΖ πρὸς ΖΛ* [Eucl. V, 22]. *ἀλλ' ὡς μὲν ἡ ΒΓ πρὸς ΓΚ, οὕτως ἐδείχθη ἡ ΑΓ πρὸς ΓΗ, ὡς δὲ ἡ ΕΖ πρὸς ΖΛ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ· καὶ ὡς ἄρα ἡ ΑΓ πρὸς ΓΗ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶν τὸ ΑΓΗ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ* [Eucl. VI, 6].



ὁμοίως καὶ τὸ ΑΗΒ τῷ ΔΘΕ, ὅτι καὶ τὸ ΑΒΓ τῷ ΔΕΖ.

θ'. Ἔστω ὅμοιον τὸ μὲν ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, το δὲ ΑΗΒ τῷ ΔΕΘ· ὅτι γίνεται, ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπο ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΔΖ.

---

23. ὁμοίως — 24. ΔΕΖ] interpolatori tribuit Hultsch. 28. ΔΖ] ΖΔ Hultsch cum Halleio.

ἐπεὶ γὰρ διὰ τὴν ὁμοιότητα ἴση ἐστὶν ὅλη μὲν ἡ Α ὅλῃ τῇ Δ, ἡ δὲ ὑπὸ ΒΑΗ τῇ ὑπὸ ΕΔΘ, λοιπὴ



ἄρα ἡ ὑπὸ ΗΑΓ λοιπῇ τῇ ὑπὸ ΘΔΖ ἐστιν ἴση. ἀλλὰ καὶ ἡ Γ τῇ Ζ· ἔστιν ἄρα, ὡς ἡ ΗΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΘΖ πρὸς ΖΔ. ἀλλὰ καί, ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἦν ἡ ΕΖ πρὸς ΖΔ· καὶ ὁ συνημμένος ἄρα τῷ συνημμένῳ ἐστὶν ὁ αὐτός. ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ.

ι'. Ἄλλως μὴ διὰ τοῦ συνημμένου. κείσθω τῷ μὲν ὑπὸ ΒΓΗ ἴσον τὸ ὑπὸ ΑΓΚ, τῷ δὲ ὑπὸ ΕΖΘ ἴσον τὸ ὑπὸ ΔΖΛ· ἔσται πάλιν, ὡς μὲν ἡ ΒΓ πρὸς



ΓΚ, οὕτως ἡ ΑΓ πρὸς ΓΗ, ὡς δὲ ἡ ΕΖ πρὸς ΖΛ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ. καὶ κατὰ τὰ αὐτὰ τῷ ἐπάνω δείξομεν, ὅτι ἐστίν, ὡς ἡ ΑΓ πρὸς ΓΗ, οὕτως ἡ ΔΖ πρὸς ΖΘ· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΚ, οὕτως ἡ ΕΖ πρὸς ΖΛ. ἀλλὰ καί, ὡς ἡ ΒΓ πρὸς ΓΑ, οὕτως ἡ ΕΖ πρὸς ΖΔ [Eucl. VI, 4] διὰ τὴν ὁμοιότητα· δι' ἴσου ἄρα ἐστίν, ὡς ἡ ΚΓ πρὸς ΓΑ, τουτέστιν ὡς τὸ ὑπὸ ΚΓΑ, ὅ ἐστιν τὸ ὑπὸ ΒΓΗ, πρὸς τὸ ἀπὸ ΑΓ, οὕτως ἡ ΛΖ πρὸς ΖΔ, τουτέστιν τὸ ὑπὸ ΛΖΔ, ὅ ἐστιν τὸ ὑπὸ ΕΖΘ, πρὸς τὸ ἀπὸ ΖΔ· ὅπερ ἔδει δεῖξαι.

ὁμοίως δὴ δείξομεν, καὶ ἐὰν ᾖ, ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΑΓ, οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ,

---

17. τοῖς ἐπάνω coni. Hultsch. 27. ἔδει δεῖξαι] :∼ codd.

καὶ ὅμοιον τὸ *ΑΒΓ* τρίγωνον τῷ *ΔΕΖ* τριγώνῳ, ὅτι καὶ τὸ *ΑΒΗ* τρίγωνον τῷ *ΔΕΘ* τριγώνῳ ὅμοιον.



ια΄. Ἔστω δύο ὅμοια τρίγωνα τὰ *ΑΒΓ*, *ΔΕΖ*, καὶ κάθετοι ἤχθωσαν αἱ *ΑΗ*, *ΔΘ*· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ *ΒΗΓ* πρὸς τὸ ἀπὸ *ΑΗ*, οὕτως τὸ ὑπὸ *ΕΘΖ* πρὸς τὸ ἀπὸ *ΘΔ*.

τοῦτο δὲ φανερόν, ὅτι ὅμοιον γίνεται τοῖς πρὸ αὐτοῦ.

ιβ΄. Ἔστω ἴση ἡ μὲν *Β* γωνία τῇ *Ε*, ἐλάσσων δὲ ἡ *Α* τῆς *Δ*· ὅτι ἡ *ΓΒ* πρὸς *ΒΑ* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *ΖΕ* πρὸς *ΕΔ*.



ἐπεὶ γὰρ ἐλάσσων ἡ *Α* γωνία τῆς *Δ*, συνεστάτω αὐτῇ ἴση ἡ ὑπὸ *ΕΔΗ*· ἔστιν ἄρα, ὡς ἡ *ΓΒ* πρὸς *ΒΑ*, οὕτως ἡ *ΕΗ* πρὸς *ΕΔ* [Eucl. VI, 4]. ἀλλὰ καὶ ἡ *ΕΗ* πρὸς *ΕΔ* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *ΖΕ* πρὸς *ΕΔ* [Eucl. V, 8]· καὶ ἡ *ΓΒ* ἄρα πρὸς τὴν *ΒΑ* ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ *ΖΕ* πρὸς τὴν *ΕΔ*. καὶ πάντα δὲ τὰ τοιαῦτα τῇ αὐτῇ ἀγωγῇ δείξομεν.

ιγ΄. Ἔστω, ὡς τὸ ὑπὸ *ΒΗΓ* πρὸς τὸ ἀπὸ *ΑΗ*, οὕτως τὸ ὑπὸ *ΕΘΖ* πρὸς τὸ ἀπο *ΔΘ*, καὶ ἡ μὲν *ΒΗ* τῇ *ΗΓ* ἔστω ἴση, ἡ δὲ *ΓΗ* πρὸς *ΗΑ* ἐλάσσονα λόγον ἐχέτω ἤπερ ἡ *ΖΘ* πρὸς *ΘΔ*· ὅτι μείζων ἐστὶν ἡ *ΖΘ* τῆς *ΘΕ*.

ἐπεὶ γὰρ τὸ ἀπὸ *ΓΗ* πρὸς τὸ ἀπὸ *ΗΑ* ἐλάσσονα

---

17. ἀλλ' ἐπεὶ ἡ *ΕΗ* coni. Hultsch.

λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ, ἀλλὰ τὸ ἀπὸ ΓΗ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΗΓ, τὸ ἄρα ὑπο ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ. ἀλλ' ὡς τὸ ὑπὸ ΒΗΓ



πρὸς τὸ ἀπὸ ΑΗ, οὕτως ὑπέκειτο το ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΘΔ· καὶ τὸ ὑπὸ ΕΘΖ ἄρα πρὸς τὸ ἀπὸ ΘΔ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ. μεῖζον ἄρα ἐστὶν τὸ ἀπὸ ΖΘ τοῦ ὑπὸ ΕΘΖ [Eucl. V, 10]· ὥστε μείζων ἐστὶν ἡ ΖΘ τῆς ΘΕ.

Τοῦ γ′.

α′. Καταγραφὴ ἡ ΑΒΓΔΕΖΗ, ἔστω δὲ ἴση ἡ ΒΗ τῇ ΗΓ· ὅτι παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΒΓ.



ἤχθω διὰ τοῦ Α τῇ ΒΓ παράλληλος ἡ ΘΚ, καὶ ἐκβεβλήσθωσαν αἱ ΒΖ, ΓΕ ἐπὶ τὰ Κ, Θ σημεῖα. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΒΗ τῇ ΗΓ, ἴση ἄρα ἐστὶν καὶ ἡ ΘΑ τῇ ΑΚ [Eucl. VI, 4]. ἔστιν ἄρα, ὡς ἡ ΒΓ πρὸς τὴν ΘΑ, τουτέστιν ὡς ἡ ΒΕ πρὸς τὴν ΕΑ [Eucl. VI, 4], οὕτως ἡ ΒΓ πρὸς τὴν ΚΑ [Eucl. V, 7], τουτέστιν ἡ ΓΖ πρὸς ΖΑ [Eucl. VI, 4]· παράλληλος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΒΓ [Eucl. VI, 2].

β′. Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἴσας ἔχοντα τὰς Α, Δ γωνίας, ἴσον δὲ ἔστω τὸ ὑπὸ ΒΑΓ τῷ ὑπὸ ΕΔΖ· ὅτι καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἐστὶν ἴσον.

ἤχθωσαν κάθετοι αἱ ΒΗ, ΕΘ· ἔστιν ἄρα, ὡς ἡ ΗΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΕΘ πρὸς τὴν ΕΔ [Eucl. VI, 4]· καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΗ, ΑΓ πρὸς τὸ ὑπὸ ΒΑ, ΑΓ, οὕτως τὸ ὑπὸ ΕΘ, ΔΖ πρὸς τὸ ὑπὸ ΕΔΖ. ἐναλλάξ, ὡς τὸ ὑπὸ ΒΗ, ΑΓ πρὸς τὸ ὑπὸ ΕΘ, ΔΖ, οὕτως τὸ ὑπὸ ΒΑΓ πρὸς τὸ ὑπὸ ΕΔΖ. ἴσον δέ ἐστιν τὸ ὑπὸ ΒΑΓ τῷ ὑπὸ ΕΔΖ· ἴσον ἄρα ἐστὶν καὶ τὸ ὑπὸ ΒΗ, ΑΓ τῷ ὑπὸ ΕΘ, ΔΖ. ἀλλὰ τοῦ μὲν ὑπὸ ΒΗ, ΑΓ ἥμισύ ἐστιν τὸ ΑΒΓ τρίγωνον, τοῦ δὲ ὑπὸ ΕΘ, ΔΖ ἥμισύ ἐστιν τὸ ΔΕΖ τρίγωνον· καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν.





φανερὸν δή, ὅτι καὶ τὰ διπλᾶ αὐτῶν παραλληλόγραμμα ἴσα ἐστίν.

γ′. Τρίγωνον τὸ ΑΒΓ, καὶ παράλληλος ἡ ΔΕ τῇ ΒΓ· ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον.

ἐπεὶ γὰρ ὅμοιόν ἐστιν τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΕ τριγώνῳ, τὸ ἄρα ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς ΑΔ [Eucl. VI, 19]. ἀλλὰ καὶ τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς τὴν ΑΔ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ



9. ἐναλλάξ — 11. ΕΔΖ] om. Hultsch cum Halleio.

ΒΑ πρὸς τὸ ἀπὸ *ΑΔ*, οὕτως τὸ *ΑΒΓ* τρίγωνον πρὸς τὸ *ΑΔΕ* τρίγωνον.

δʹ. Ἴσαι αἱ *ΑΒ*, *ΓΔ* καὶ τυχὸν σημεῖον τὸ *Ε*· ὅτι τὸ ὑπὸ *ΓΕΒ* τοῦ ὑπὸ *ΓΑΒ* ὑπερέχει τῷ ὑπὸ *ΔΕΑ*.

τετμήσθω ἡ *ΒΓ* δίχα τῷ *Ζ*· τὸ *Ζ* ἄρα διχοτομία ἐστὶν καὶ τῆς *ΑΔ*. καὶ ἐπεὶ τὸ ὑπὸ *ΓΕΒ* μετὰ τοῦ ἀπὸ *ΒΖ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΕΖ* [Eucl. II, 6], ἀλλὰ καὶ τὸ ὑπὸ *ΔΕΑ* μετὰ τοῦ ἀπὸ *ΑΖ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΕΖ*, καί ἐστιν τὸ ἀπὸ *ΑΖ* ἴσον τῷ ὑπὸ *ΓΑΒ* μετα τοῦ ἀπὸ *ΒΖ*, κοινὸν ἐκκεκρούσθω τὸ ἀπὸ *ΒΖ*· λοιπὸν ἄρα τὸ ὑπὸ *ΓΕΒ* ἴσον ἐστὶν τῷ τε ὑπὸ *ΓΑΒ* καὶ τῷ ὑπὸ *ΔΕΑ*. ὥστε τὸ ὑπὸ *ΓΕΒ* τοῦ ὑπὸ *ΓΑΒ* ὑπερέχει τῷ ὑπὸ *ΔΕΑ*· ὅπερ ἔδει δεῖξαι.

εʹ. Ἐὰν δὲ τὸ σημεῖον ᾖ μεταξὺ τῶν *Α*, *Β* σημείων, τὸ ὑπὸ *ΓΕΒ* τοῦ ὑπὸ *ΓΑΒ* ἔλασσον ἔσται τῷ αὐτῷ χωρίῳ, οὗπέρ ἐστιν κατὰ τὰ αὐτὰ ἡ ἀπόδειξις.

ἐὰν δὲ τὸ σημεῖον ᾖ μεταξὺ τῶν *Β*, *Γ*, τὸ ὑπὸ *ΓΕΒ* τοῦ ὑπὸ *ΑΕΔ* ἔλασσον ἔσται τῷ ὑπὸ *ΑΒΔ* τῇ αὐτῇ ἀγωγῇ.

ϛʹ. Ἴση ἡ *ΑΒ* τῇ *ΒΓ*, καὶ δύο σημεῖα τὰ *Δ*, *Ε*· ὅτι τὸ τετράκις ἀπὸ τῆς *ΑΒ* τετράγωνον ἴσον ἐστὶν τῷ δὶς ὑπὸ *ΑΔΓ* μετὰ τοῦ δὶς ὑπὸ *ΑΕΓ* καὶ δὶς τῶν ἀπὸ *ΒΔ*, *ΒΕ* τετραγώνων.



τοῦτο δὲ φανερόν· τὸ μὲν γὰρ δὶς ἀπὸ *ΑΒ* διὰ τῶν διχοτομιῶν ἴσον ἐστὶν τῷ τε δὶς ὑπὸ *ΑΔΓ* καὶ

---

9. καί ἐστιν] ἔστιν ἄρα καί coni. Hultsch. 14. ἔδει δεῖξαι] :∾ codd.

τῷ δὶς ἀπὸ ΔΒ, τὸ δὲ δὶς ἀπὸ ΑΒ ἴσον ἐστὶν τῷ τε δὶς ὑπὸ ΑΕΓ καὶ τῷ δὶς ἀπὸ ΕΒ τετραγώνῳ [Eucl. II, 5].

ζʹ. Ἴση ἡ ΑΒ τῇ ΓΔ, καὶ σημεῖον τὸ Ε· ὅτι τὰ ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα ἴσα τοῖς ἀπὸ τῶν ΒΕ, ΕΓ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓΔ.

τετμήσθω δίχα ἡ ΒΓ κατὰ τὸ Ζ. ἐπεὶ οὖν τὸ δὶς ἀπὸ τῆς ΔΖ ἴσον ἐστὶν τῷ τε δὶς ὑπὸ ΑΓΔ καὶ δὶς ἀπὸ ΓΖ [Eucl. II, 5], *κοινοῦ προστεθέντος τοῦ δὶς ἀπὸ ΕΖ ἴσον ἐστὶν τό τε δὶς ὑπὸ ΑΓΔ καὶ τα δὶς ἀπὸ τῶν ΕΖΓ τοῖς δὶς ἀπὸ τῶν ΔΖ, ΖΕ τετραγώνοις. ἀλλὰ τοῖς μὲν δὶς ἀπὸ τῶν ΔΖ, ΖΕ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα, τοῖς δὲ δὶς ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν ΒΕ, ΕΓ τετράγωνα* [Eucl. II, 10]· *τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα ἴσα ἐστὶν τοῖς τε ἀπὸ τῶν ΒΕ, ΕΓ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓΔ.*

ηʹ. Ἔστω τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΓΔ ἴσον τῷ ἀπὸ ΔΑ· ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ.



κοινὸν γὰρ ἀφῃρήσθω τὸ ἀπὸ ΓΔ· λοιπὸν ἄρα τὸ ὑπὸ ΒΑΓ ἴσον ἐστὶ τοῖς ὑπὸ τῶν ΔΑΓ, ΑΓΔ [Eucl. II, 2; II, 3]. *ἐπεὶ δὲ τὸ ὑπὸ ΒΑΓ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΑΓ καὶ τῷ ὑπὸ ΒΔ, ΑΓ* [Eucl. II, 1], *κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ ΔΑΓ· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΓ, ΔΒ*

---

8. *κοινοῦ*] Halley, *ἀλλὰ κοινοῦ* codd., *κοινοῦ ἄρα* coni. Hultsch. 10. *ΕΖΓ*] *ΓΖ, ΖΕ* Hultsch cum Halleio. 19. *λοιπόν* — 23. *ΔΑΓ*] om. codd., suppleuit Hultsch praeeunte Halleio (ante *τοῖς* lin. 20 addunt: *τῇ τῶν ἀπὸ ΑΔ, ΔΓ ὑπεροχῇ, τουτέστιν*).

ἴσον ἐστὶν τῷ ὑπὸ ΔΓΑ. ἴση ἄρα ἐστὶν ἡ ΔΓ τῇ ΔΒ· ὅπερ ἔδει δεῖξαι.

θ'. Ἔστω τὸ ὑπὸ ΑΓΒ μετὰ τοῦ ἀπὸ ΓΔ ἴσον τῷ ἀπὸ ΔΒ τετραγώνῳ· ὅτι ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ.



κείσθω τῇ ΓΔ ἴση ἡ ΔΕ· τὸ ἄρα ὑπὸ ΓΒΕ μετὰ τοῦ ἀπὸ ΔΕ, τουτέστιν τοῦ ἀπὸ ΓΔ, ἴσον τῷ ἀπὶ ΔΒ [Eucl. II, 6], τουτέστιν τῷ ὑπὸ ΒΓΑ μετὰ τοῦ ἀπὸ ΓΔ· ὥστε τὸ ὑπὸ ΓΒΕ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΓΑ· ἴση ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΕΒ. ἀλλὰ καὶ ἡ ΓΔ τῇ ΔΕ· ὅλη ἄρα ἡ ΑΔ ὅλῃ τῇ ΔΒ ἴση ἐστίν.

ι'. Ἔστω πάλιν τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΔΒ ἴσον τῷ ἀπὸ ΑΔ· ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ.

κείσθω τῇ ΔΒ ἴση ἡ ΑΕ. ἐπεὶ οὖν τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΔΒ, τουτέστιν τοῦ ἀπο ΕΑ, ἴσον ἐστὶν τῷ ἀπὸ ΑΔ τετραγώνῳ, κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ ΔΑΓ· λοιπὸν ἄρα τὸ ὑπὸ ΒΔ, ΑΓ [Eucl. II, 1], τουτέστιν τὸ ὑπὸ ΕΑΓ, μετὰ τοῦ ἀπὸ ΕΑ, ὅ ἐστιν τὸ ὑπὸ ΓΕΑ [Eucl. II, 3], ἴσον ἐστὶν τῷ ὑπὸ ΑΔΓ [Eucl. II, 2]. ἴση ἄρα [Eucl. VI, 16; V, 18; V, 9] ἐστὶν ἡ ΕΑ, τουτέστιν ἡ ΒΔ, τῇ ΔΓ.

ια'. Εὐθεῖα ἡ ΑΒ, ἐφ' ἧς γ̄ σημεῖα τὰ Γ, Δ, Ε οὕτως, ὥστε ἴσην μὲν εἶναι τὴν ΒΕ τῇ ΕΓ, τὸ δὲ ὑπὸ ΑΕΔ τῷ ἀπὸ ΕΓ· ὅτι γίνεται, ὡς ἡ ΒΑ πρὸς ΑΓ, οὕτως ἡ ΒΔ πρὸς ΔΓ.

---

2. ὅπερ ἔδει δεῖξαι] o codd. 7. ΒΓΑ] ΕΑΓ codd., ΑΓΒ Hultsch cum Halleio. 8. ΒΓΑ] ΑΓΒ Hultsch cum Halleio.

ἐπεὶ γὰρ τὸ ὑπὸ ΑΕΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΕΓ, ἀνάλογον [Eucl. VI, 17] καὶ ἀναστρέψαντι καὶ δὶς τὰ



ἡγούμενα καὶ διελόντι· ἔστιν ἄρα, ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΒΔ πρὸς ΔΓ.

ιβ'. Ἔστω πάλιν τὸ ὑπὸ ΒΓΔ ἴσον τῷ ἀπὸ ΓΕ, ἴση δὲ ἡ ΑΓ τῇ ΓΕ· ὅτι τὸ ὑπὸ ΑΒΕ ἴσον ἐστὶν τῷ ὑπὸ ΓΒΔ.



ἐπεὶ γὰρ τὸ ὑπὸ ΒΓΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΓΕ, ἀνάλογόν ἐστιν [Eucl. VI, 17], ὡς ἡ ΒΓ πρὸς ΓΕ, τουτέστιν πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ, τουτέστιν ἡ ΑΓ, πρὸς τὴν ΓΔ· καὶ ὅλη πρὸς ὅλην [Eucl. V, 12] καὶ ἀναστρέψαντι καὶ χωρίον χωρίῳ [Eucl. VI, 16]· τὸ ἄρα ὑπὸ ΑΒΕ ἴσον ἐστὶν τῷ ὑπὸ ΓΒΔ.

φανερὸν δέ, ὅτι καὶ τὸ ὑπὸ ΑΔΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΔΓ· ἐὰν γὰρ ἀφαιρεθῇ τὸ ἀπὸ ΓΔ κοινὸν ἀπὸ τῆς τοῦ ἀπὸ ΓΕ πρὸς τὸ ὑπὸ ΒΓΔ ἰσότητος, γίνεται [Eucl. II, 3; II, 5].

ιγ'. Εἰς δύο παραλλήλους τὰς ΑΒ, ΓΔ διά τε τοῦ αὐτοῦ σημείου τοῦ Ε τρεῖς διήχθωσαν αἱ ΑΕΔ, ΒΕΓ, ΖΕΗ· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΖΒ, οὕτως τὸ ὑπὸ ΓΕΔ πρὸς τὸ ὑπὸ ΓΗΔ.

διὰ τοῦ συνημμένου φανερόν· ὡς μὲν γὰρ ἡ ΑΕ πρὸς τὴν ΕΔ, οὕτως ἡ ΑΖ πρὸς τὴν ΗΔ, ὡς δὲ ἡ ΒΕ πρὸς τὴν ΕΓ, οὕτως ἡ ΖΒ πρὸς τὴν ΗΓ [Eucl. VI, 4], καὶ σύγκειται ἐκ τούτων τὰ χωρία· μένει ἄρα.

---

25. μένει] scripsi, μὲν ῑ codd., γίνεται Hultsch.

ἔστιν δὲ καὶ οὕτως μὴ προσχρησάμενον τῷ συνημμένῳ. ἐπεὶ γάρ ἐστιν, ὡς ἡ AE πρὸς τὴν EB, οὕτως ἡ $E\varDelta$ πρὸς τὴν $E\Gamma$ [Eucl. VI, 4], καὶ ὡς ἄρα τὸ ὑπὸ AEB πρὸς τὸ ἀπὸ EB, οὕτως τὸ ὑπὸ $\varDelta E\Gamma$ πρὸς τὸ ἀπὸ $E\Gamma$. ἀλλὰ καί, ὡς τὸ ἀπὸ BE πρὸς τὸ ἀπὸ BZ, οὕτως τὸ ἀπὸ $E\Gamma$ πρὸς τὸ ἀπὸ ΓH [Eucl. VI, 4]· δι' ἴσου ἄρα ἐστίν, ὡς τὸ υπὸ AEB πρὸς τὸ ἀπὸ ZB, οὕτως τὸ υπὸ $\Gamma E\varDelta$ πρὸς τὸ ἀπὸ ΓH. ἀλλὰ καί, ὡς τὸ ἀπὸ ZB πρὸς τὸ ὑπὸ BZA, οὕτως τὸ ἀπὸ ΓH πρὸς τὸ ὑπὸ $\Gamma H\varDelta$· δι' ἴσου ἄρα ἐστίν, ὡς τὸ ὑπὸ AEB πρὸς τὸ ὑπὸ AZB, οὕτως τὸ ὑπὸ $\Gamma E\varDelta$ πρὸς τὸ ὑπο $\Gamma H\varDelta$.



II.

SERENUS.

Serenus de sectione cylindri prop. 16 p. 16 ed. Halley:

Τούτων οὕτως ἐχόντων φανερόν ἐστιν, ὅτι ἡ ΑΒΓ τοῦ κυλίνδρου τομὴ ἔλλειψίς ἐστιν· ὅσα γὰρ ἐνταῦθα τῇ τομῇ ἐδείχθη ὑπάρχοντα, πάντα ὁμοίως καὶ ἐπὶ τοῦ κώνου τῇ ἐλλείψει ὑπῆρχεν, ὡς ἐν τοῖς Κωνικοῖς δείκνυται θεωρήματι ιε′ τοῖς δυναμένοις λέγειν τὴν ἀκρίβειαν τοῦ θεωρήματος, καὶ ἡμεῖς ἐν τοῖς εἰς αὐτὰ ὑπομνήμασι γεωμετρικῶς ἀπεδείξαμεν.

---

8. ὑπῆρχεν] cod. Cnopolitanus c, ὑπῆρχον Halley. 11. ὑπομνήμασι] c, ὑπομνήμασιν Halley.

III.

HYPATIA.

Suidas s. u. *Ὑπατία* p. 1059 a ed. Bekker:

Ἔγραψεν ... εἰς τὰ κωνικὰ Ἀπολλωνίου ὑπόμνημα.

IV.

EUTOCII
COMMENTARIA IN CONICA.

Εἰς τὸ πρῶτον.

Ἀπολλώνιος ὁ γεωμέτρης, ὦ φίλε ἑταῖρε Ἀνθέμιε, γέγονε μὲν ἐκ Πέργης τῆς ἐν Παμφυλίᾳ ἐν χρόνοις τοῦ Εὐεργέτου Πτολεμαίου, ὡς ἱστορεῖ Ἡράκλειος ὁ τὸν βίον Ἀρχιμήδους γράφων, ὃς καί φησι τὰ κωνικὰ θεωρήματα ἐπινοῆσαι μὲν πρῶτον τὸν Ἀρχιμήδη, τὸν δὲ Ἀπολλώνιον αὐτὰ ευρόντα ὑπὸ Ἀρχιμήδους μὴ ἐκδοθέντα ἰδιοποιήσασθαι, οὐκ ἀληθεύων κατά γε τὴν ἐμήν. ὅ τε γὰρ Ἀρχιμήδης ἐν πολλοῖς φαίνεται ὡς παλαιοτέρας τῆς στοιχειώσεως τῶν κωνικῶν μεμνημένος, καὶ ὁ Ἀπολλώνιος οὐχ ὡς ἰδίας ἐπινοίας γράφει· οὐ γὰρ ἂν ἔφη ἐπὶ πλέον καὶ καθόλου μᾶλλον ἐξειργάσθαι ταῦτα παρὰ τὰ ὑπὸ τῶν ἄλλων γεγραμμένα. ἀλλ' ὅπερ φησὶν ὁ Γεμῖνος ἀληθές ἐστιν, ὅτι οἱ παλαιοὶ κῶνον ὁριζόμενοι τὴν τοῦ ὀρθογωνίου τριγώνου περιφορὰν μενούσης μιᾶς τῶν περὶ τὴν ὀρθὴν εἰκότως καὶ τοὺς κώνους πάντας ὀρθοὺς ὑπελάμβανον γίνεσθαι καὶ μίαν τομὴν ἐν ἑκάστῳ, ἐν

---

4. Εὐτοκίου Ἀσκαλωνίτου εἰς τὸ α' τῶν Ἀπολλωνίου κωνικῶν τῆς κατ' αὐτὸν ἐκδόσεως ὑπόμνημα Wp. 6. γέγονε] p,

In librum I.

Apollonius geometra, amicissime mihi Anthemie, ex Perga urbe Pamphyliae oriundus vixit temporibus Ptolemaei Euergetae, ut narrat Heraclius, qui vitam scripsit Archimedis; idem dicit, propositiones conicas primum inuenisse Archimedem, Apollonium autem, cum eas ab Archimede non editas reperisset, sibi adrogasse; sed mea quidem sententia fallitur. nam et adparet, Archimedem saepe elementa conica ut antiquiora commemorare, et Apollonius sua ipsius inuenta se exponere minime profitetur; alioquin non dixisset [I p. 4, 3—5], se ea latius uniuersaliusque exposuisse, quam quae ceteri de iis scripsissent. immo Geminus uerum uidit, ueteres, qui conum definirent ortum circumactione trianguli rectanguli manente altero latere eorum, quae angulum rectum comprehenderent, iure omnes conos rectos fieri putasse et in singulis unam oriri sectionem, in rectangulo eam, quam nunc

---

γέγονεν W. *τῆς ἐν Παμφυλίᾳ*] p, in ras. m. 1 W. 7. *Ἡράκλειος*] p, —*ειος* W¹. 8. *Ἀρχημήδους*, *ς* in ras. m. 1, W, sed corr. *γράφων, ὃς καί*] p, —*ν ὃς καί* W¹. 9. *Ἀρχιμήδην* p. 10. *εὑρώντα* W, sed corr. 12. *ἐμὴν γνῶσιν* p. 15. *οὐ*] comp. e corr. p. 17. *Γεμῖνος*] w, *Γεμινος* W, *Γεμίνος* p. 18. *παλαιοί*] p, —*οί* W¹. *κῶνον*] corr. ex *λωνιον* m. 1 W. —*θογωνίον* in ras. m. 1 W. 19. *μενούσης μιᾶς*] p; —*σης μιᾶς* W¹ seq. lineola transuersa. 21. *γείνεσθαι* W.

μὲν τῷ ὀρθογωνίῳ τὴν νῦν καλουμένην παραβολήν, ἐν δὲ τῷ ἀμβλυγωνίῳ τὴν ὑπερβολήν, ἐν δὲ τῷ ὀξυγωνίῳ τὴν ἔλλειψιν· καὶ ἔστι παρ' αὐτοῖς εὑρεῖν οὕτως ὀνομαζομένας τὰς τομάς. ὥσπερ οὖν τῶν ἀρχαίων ἐπὶ ἑνὸς ἑκάστου εἴδους τριγώνου θεωρησάντων τὰς δύο ὀρθὰς πρότερον ἐν τῷ ἰσοπλεύρῳ καὶ πάλιν ἐν τῷ ἰσοσκελεῖ καὶ ὕστερον ἐν τῷ σκαληνῷ οἱ μεταγενέστεροι καθολικὸν θεώρημα ἀπέδειξαν τοιοῦτο· παντὸς τριγώνου αἱ ἐντὸς τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· οὕτως καὶ ἐπὶ τῶν τοῦ κώνου τομῶν· τὴν μὲν γὰρ λεγομένην ὀρθογωνίου κώνου τομὴν ἐν ὀρθογωνίῳ μόνον κώνῳ ἐθεώρουν τεμνομένῳ ἐπιπέδῳ ὀρθῷ πρὸς μίαν πλευρὰν τοῦ κώνου, τὴν δὲ τοῦ ἀμβλυγωνίου κώνου τομὴν ἐν ἀμβλυγωνίῳ γινομένην κώνῳ ἀπεδείκνυσαν, τὴν δὲ τοῦ ὀξυγωνίου ἐν ὀξυγωνίῳ, ὁμοίως ἐπὶ πάντων τῶν κώνων ἄγοντες τὰ ἐπίπεδα ὀρθὰ πρὸς μίαν πλευρὰν τοῦ κώνου· δηλοῖ δὲ καὶ αὐτὰ τὰ ἀρχαῖα ὀνόματα τῶν γραμμῶν. ὕστερον δὲ Ἀπολλώνιος ὁ Περγαῖος καθόλου τι ἐθεώρησεν, ὅτι ἐν παντὶ κώνῳ καὶ ὀρθῷ καὶ σκαληνῷ πᾶσαι αἱ τομαί εἰσι κατὰ διάφορον τοῦ ἐπιπέδου πρὸς τὸν κῶνον προσβολήν· ὃν καὶ θαυμάσαντες οἱ κατ' αὐτὸν γενόμενοι διὰ τὸ θαυμάσιον τῶν ὑπ' αὐτοῦ δεδειγμένων κωνικῶν θεωρημάτων μέγαν γεωμέτρην ἐκάλουν. ταῦτα μὲν οὖν ὁ Γεμῖνος ἐν τῷ ἕκτῳ φησὶ τῆς τῶν μαθημάτων θεωρίας. ὃ δὲ λέγει, σαφὲς ποιήσομεν ἐπὶ τῶν ὑποκειμένων καταγραφῶν.

ἔστω τὸ διὰ τοῦ ἄξονος τοῦ κώνου τρίγωνον τὸ

---

2. *ἐν δέ — ὑπερβολήν*] p, mg. W^1. 3. *ἔστιν* W. 7. *σκαληνῷ*] *α* corr. ex *λ* m. 1 W. 8. *ἀπέδειξαν*] p, W^1. *παντός*] *π* corr. ex *ν* m. 1 W. 10. *οὕτω* p. 13. *δέ*] supra

parabolam uocant, in obtusiangulo hyperbolam, in acutiangulo ellipsim; et sectiones illas apud eos ita denominatas inuenias. sicut igitur, cum ueteres propositionem de angulis duobus rectis aequalibus in singulis generibus trianguli inuestigassent, primum in aequilatero, postea in aequicrurio, deinde uero in scaleno, recentiores propositionem uniuersalem demonstrauerunt talem: cuiusuis trianguli tres anguli interiores duobus rectis aequales sunt [Eucl. I, 32], ita etiam in coni sectionibus factum est; sectionem enim rectanguli coni quae uocatur in solo cono rectangulo perscrutabantur secto plano ad latus coni perpendiculari, sectionem autem coni obtusianguli in cono obtusiangulo, sectionem autem acutianguli in acutiangulo oriri demonstrabant in omnibus conis similiter planis ad latus coni perpendicularibus ductis; id quod ipsa nomina linearum illarum antiqua docent. postea uero Apollonius Pergaeus uniuersaliter inuestigauit, in quouis cono et recto et scaleno omnes sectiones illas oriri secundum uariam plani ad conum positionem; quem admirati aequales ob admiranda theoremata conica ab eo demonstrata magnum geometram adpellabant. haec igitur Geminus in libro sexto de scientia mathematica; et quae dicit, nos in figuris infra descriptis illustrabimus.

sit $AB\Gamma$ triangulus per axem coni positus, et a

---

scr. in ras. W¹. 14. *ἐν*] w, om. Wp. 15. *ἀποδείκνυσαν* W, corr. W¹ 18. *τά*] p, om. W. 19. *καθόλου* — 20. *ἐν π*—] p, W¹. 21. *εἰσιν* W. 23. *δεδειγ*— in ras. m. 1 W 24. *κωνικῶν*] Wp, mg. *ἐν ἄλλῳ καθολικῶν* m. 1 p, W¹. 25. *Γεμῖνος*] vw, *Γεμινος* W, *Γεμίνος* p.

ΑΒΓ, καὶ ἤχθω τῇ *ΑΒ* ἀπὸ τυχόντος σημείου τοῦ *Ε* πρὸς ὀρθὰς ἡ *ΔΕ*, καὶ τὸ διὰ τῆς *ΔΕ* ἐπίπεδον ἐκβληθὲν ὀρθὸν πρὸς τὴν *ΑΒ* τεμνέτω τὸν κῶνον· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ *ΑΕΔ*, *ΑΕΖ* γωνιῶν. ὀρθογωνίου μὲν ὄντος τοῦ κώνου καὶ ὀρθῆς δηλονότι τῆς ὑπὸ *ΒΑΓ* γωνίας ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς δύο ὀρθαῖς ἴσαι ἔσονται αἱ ὑπὸ *ΒΑΓ*, *ΑΕΖ* γωνίαι· ὥστε παράλληλος ἔσται ἡ *ΔΕΖ* τῇ *ΑΓ*. καὶ γίνεται ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τομὴ ἡ καλουμένη παραβολὴ οὕτω κληθεῖσα ἀπὸ τοῦ παράλληλον εἶναι τὴν *ΔΕΖ*, ἥτις ἐστὶ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, τῇ *ΑΓ* πλευρᾷ τοῦ τριγώνου.



ἐὰν δὲ ἀμβλυγώνιος ᾖ ὁ κῶνος ὡς ἐπὶ τῆς δευτέρας καταγραφῆς ἀμβλείας δηλονότι οὔσης τῆς ὑπὸ *ΒΑΓ*, ὀρθῆς δὲ τῆς ὑπὸ *ΑΕΖ*, δύο ὀρθῶν μείζους ἔσονται αἱ ὑπὸ *ΒΑΓ*, *ΑΕΖ* γωνίαι· ὥστε οὐ συμπεσεῖται ἡ *ΔΕΖ* τῇ *ΑΓ* πλευρᾷ ἐπὶ τὰ πρὸς τοῖς *Ζ*, *Γ* μέρη, ἀλλὰ ἐπὶ τὰ πρὸς τοῖς *Α*, *Ε* προσεκβαλλομένης δηλονότι τῆς *ΓΑ* ἐπὶ τὸ *Δ*. ποιήσει οὖν τὸ τέμνον ἐπίπεδον ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τομὴν τὴν καλουμένην ὑπερβολὴν οὕτω κληθεῖσαν ἀπὸ τοῦ ὑπερβάλλειν τὰς εἰρημένας γωνίας, τουτέστι τὰς ὑπὸ *ΑΕΖ*,

---

2. ἐμβληθέν W. 6. ὀρθωγωνίου W, corr. m. 1. μὲν ὄντος] scripsi, μένοντος Wp. 12. *ΒΑΓ*] *ΑΒΓ* Wp, corr. mg. U. *ΑΕΖ*] *ΔΕΖ* Wp, corr. mg. U. 15. ἐστίν W. 17. ἄξωνος W, corr. m. 1. 18. ὡς] p, in spatio 7 litt. m.

puncto aliquo E ad AB perpendicularis ducatur $\varDelta E$, planum autem per $\varDelta E$ ad AB perpendiculare ductum conum secet; itaque anguli $AE\varDelta$, AEZ recti sunt. iam si conus rectangulus est et ideo $\angle\, BA\Gamma$ rectus ut in prima figura, erunt $\angle\, BA\Gamma + AEZ$ duobus rectis aequales; quare $\varDelta EZ$ et $A\Gamma$ parallelae sunt [Eucl. I, 28]. et in superficie coni sectio efficitur parabola quae uocatur, cui hoc nomen inditum est, quia $\varDelta EZ$, quae communis sectio est plani secantis trianguli que per axem positi, lateri trianguli $A\Gamma$ parallela est.

sin conus obtusiangulus est ut in secunda figura obtuso scilicet posito $\angle\, BA\Gamma$, recto autem AEZ, $\angle\, BA\Gamma + AEZ$ duobus rectis maiores erunt; quare $\varDelta EZ$ et $A\Gamma$ latus ad partes Z, Γ uersus non concurrent, sed ad partes $\varDelta$, E uersus, producta scilicet ΓA ad $\varDelta$ [Eucl. I αἴτ. 5].



itaque planum secans in superficie coni sectionem efficiet hyperbolam quae uocatur, cui hoc nomen inditum est, quia anguli illi, h. e. AEZ, $BA\Gamma$, duos rectos

---

rec. W, om. vw. 19. τῆς] corr. ex τοῦ m. 1 p. 20. AEZ] $\varDelta EZ$ p et W, sed corr. 21. AEZ] om. W in extr. lin., p; corr. U. 22. $\varDelta EZ$] AEZ Wp, corr. U. Γ] corr. ex E m. 1 W. 27. τουτέστιν W.

$BA\Gamma$, δύο ὀρθὰς ἢ διὰ τὸ ὑπερβάλλειν τὴν $\varDelta EZ$ τὴν κορυφὴν τοῦ κώνου καὶ συμπίπτειν τῇ ΓA ἐκτός.

ἐὰν δὲ ὀξυγώνιος ᾖ ὁ κῶνος ὀξείας δηλονότι οὔσης τῆς ὑπὸ $BA\Gamma$, αἱ $BA\Gamma$, AEZ ἔσονται δύο ὀρθῶν ἐλάσσονες· ὥστε αἱ EZ, $A\Gamma$ ἐκβαλλόμεναι συμπεσοῦνται ὁπουδήποτε· προσαυξῆσαι γὰρ δύναμαι τὸν κῶνον. ἔσται οὖν ἐν τῇ ἐπιφανείᾳ τομή, ἥτις καλεῖται ἔλλειψις, οὕτω κληθεῖσα ἤτοι διὰ τὸ ἐλλείπειν δύο ὀρθαῖς τὰς προειρημένας γωνίας ἢ διὰ τὸ τὴν ἔλλειψιν κύκλον εἶναι ἐλλιπῆ.

οὕτως μὲν οὖν οἱ παλαιοὶ ὑποθέμενοι τὸ τέμνον ἐπίπεδον τὸ διὰ τῆς $\varDelta EZ$ πρὸς ὀρθὰς τῇ AB πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τοῦ κώνου τριγώνου καὶ ἔτι διαφόρους τοὺς κώνους ἐθεώρησαν καὶ ἐπὶ ἑκάστου ἰδίαν τομήν· ὁ δὲ Ἀπολλώνιος ὑποθέμενος τὸν κῶνον καὶ ὀρθὸν καὶ σκαληνὸν τῇ διαφόρῳ τοῦ ἐπιπέδου κλίσει διαφόρους ἐποίησε τὰς τομάς.

ἔστω γὰρ πάλιν ὡς ἐπὶ τῶν αὐτῶν καταγραφῶν τὸ τέμνον ἐπίπεδον τὸ $KE\varDelta$, κοινὴ δὲ αὐτοῦ τομὴ καὶ τῆς βάσεως τοῦ κώνου ἡ $KZ\varDelta$, κοινὴ δὲ πάλιν αὐτοῦ τοῦ $KE\varDelta$ ἐπιπέδου καὶ τοῦ $AB\Gamma$ τριγώνου ἡ EZ, ἥτις καὶ διάμετρος καλεῖται τῆς τομῆς. ἐπὶ πασῶν οὖν τῶν τομῶν ὑποτίθεται τὴν $K\varDelta$ πρὸς ὀρθὰς τῇ $B\Gamma$ βάσει τοῦ $AB\Gamma$ τριγώνου, λοιπὸν δέ, εἰ μὲν

---

4. αἱ $BA\Gamma$] om. Wp, corr. U. 5. ἐλάσσονες] —ες obscuro comp. p, ἐλάσσονος W. ὥστε] scripsi; τε Wp. 8. ὀρθαῖς] fort. ὀρθῶν. 10. ἐλλειπῆ W. 11. οὕτω p. 14. ἐπί] ἐπεί Wp, corr. Command. („in"). 15. τόν] scripsi; in W in extr. pag. uacat spatium 8 litt., initio sequentis 10; in p spatium uacat, cuius partem obtinet figura; signum lacunae add. U. 16. κλήσει W. 17. ἐποίησεν W. 22. EZH τις W. 23. πασῶν] scripsi, πλέον Wp, πάντων (!) mg. U.

superant, uel quia ΔEZ uerticem coni egreditur et cum ΓA extra concurrit.

sin conus acutiangulus est acuto scilicet posito $\angle BA\Gamma$, $\angle BA\Gamma + AEZ$ duobus rectis minores erunt; quare EZ, $A\Gamma$ productae alicubi concurrent [ib.]; nam



conum augere possumus. itaque in superficie sectio efficietur ellipsis quae uocatur, cui hoc nomen inditum est, aut quia anguli illi duobus rectis minores sunt, aut quia ellipsis circulus est imperfectus.

ita igitur ueteres, cum planum secans per ΔEZ positum ad AB latus trianguli per axem coni positi perpendiculare et praeterea conos uarie formatos supponerent, etiam in singulis singulas sectiones inuestigauerunt; Apollonius uero, qui conum et rectum et scalenum supposuit, uaria plani inclinatione uarias effecit sectiones.

sit enim rursus ut in iisdem figuris planum secans $KE\Lambda$, communis autem eius basisque coni sectio $KZ\Lambda$, rursus autem ipsius plani $KE\Lambda$ triangulique $AB\Gamma$ sectio communis EZ, quae eadem diametrus sectionis uocatur. iam in omnibus sectionibus $K\Lambda$ ad $B\Gamma$

ἡ EZ παράλληλος εἴη τῇ $A\Gamma$, παραβολὴν γίνεσθαι τὴν $KE\Lambda$ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τομήν, εἰ δὲ συμπίπτει τῇ $A\Gamma$ πλευρᾷ ἡ EZ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου ὡς κατὰ τὸ Δ, γίνεσθαι τὴν $KE\Lambda$ τομὴν ὑπερβολήν, εἰ δὲ ἐντὸς συμπίπτει τῇ $A\Gamma$ ἡ EZ, γίνεσθαι τὴν τομὴν ἔλλειψιν, ἣν καὶ θυρεὸν καλοῦσιν. καθόλου οὖν τῆς μὲν παραβολῆς ἡ διάμετρος παράλληλός ἐστι τῇ μιᾷ πλευρᾷ τοῦ τριγώνου, τῆς δὲ ὑπερβολῆς ἡ διάμετρος συμπίπτει τῇ πλευρᾷ τοῦ τριγώνου ὡς ἐπὶ τὰ πρὸς τῇ κορυφῇ τοῦ κώνου μέρη, τῆς δὲ ἐλλείψεως ἡ διάμετρος συμπίπτει τῇ πλευρᾷ τοῦ τριγώνου ὡς ἐπὶ τὰ πρὸς τῇ βάσει μέρη. κἀκεῖνο δὲ χρὴ εἰδέναι, ὅτι ἡ μὲν παραβολὴ καὶ ἡ ὑπερβολὴ τῶν εἰς ἄπειρόν εἰσιν αὐξανομένων, ἡ δὲ ἔλλειψις οὐκέτι· πᾶσα γὰρ εἰς αὐτὴν συννεύει ὁμοίως τῷ κύκλῳ.

πλειόνων δὲ οὐσῶν ἐκδόσεων, ὡς καὶ αὐτός φησιν ἐν τῇ ἐπιστολῇ, ἄμεινον ἡγησάμην συναγαγεῖν αὐτὰς ἐκ τῶν ἐμπιπτόντων τὰ σαφέστερα παρατιθέμενος ἐν τῷ ῥητῷ διὰ τὴν τῶν εἰσαγομένων εὐμάρειαν, ἔξωθεν δὲ ἐν τοῖς συντεταγμένοις σχολίοις ἐπισημαίνεσθαι τοὺς διαφόρους ὡς εἰκὸς τρόπους τῶν ἀποδείξεων.

φησὶ τοίνυν ἐν τῇ ἐπιστολῇ τὰ πρῶτα τέσσαρα βιβλία περιέχειν ἀγωγὴν στοιχειώδη· ὧν τὸ μὲν πρῶτον περιέχειν τὰς γενέσεις τῶν τριῶν τοῦ κώνου τομῶν καὶ τῶν καλουμένων ἀντικειμένων καὶ τὰ ἐν αὐταῖς ἀρχικὰ συμπτώματα. ταῦτα δέ ἐστιν, ὅσα συμβαίνει παρὰ τὴν πρώτην αὐτῶν γένεσιν· ἔχουσι γὰρ καὶ ἕτερά τινα παρακολουθήματα. τὸ δὲ δεύτερον

---

3. συμπίπτη W. 5. συμπίπτη W. 6. θυραῖον Wp, corr. U. καλοῦσι p. 8. ἐστιν W. 13. χρή] p, χρεί W.

basim trianguli perpendicularem supponit, deinde autem, si EZ rectae $A\Gamma$ parallela sit, sectionem $KE\Lambda$ in superficie coni parabolam fieri, sin EZ cum latere $A\Gamma$ extra uerticem coni concurrat ut in Δ, sectionem $KE\Lambda$ hyperbolam fieri, sin autem EZ cum $A\Gamma$ intra concurrat, sectionem fieri ellipsim, quam eandem scutum uocant. uniuersaliter igitur diametrus parabolae uni lateri trianguli parallela est, hyperbolae autem diametrus cum latere trianguli concurrit ad partes uerticis coni uersus, ellipsis autem diametrus cum latere trianguli concurrit ad partes basis uersus. et hoc quoque scire oportet, parabolam hyperbolamque earum linearum esse, quae in infinitum crescant, ellipsim uero non esse; ea enim tota in se recurrit sicut circulus.

Sed cum complures exstent editiones, ut ipse in epistula dicit [I p. 2, 18 sq.], eas in unum cogere malui clariora ex iis, quae mihi sese obtulerant, in uerba scriptoris recipiens, ut institutio facilior esset, uarios autem demonstrandi modos, ut par erat, extra in scholiis a me compositis indicare.

dicit igitur in epistula, priores quattuor libros institutionem elementarem continere; quorum primum origines trium sectionum coni oppositarumque, quae uocantur, et proprietates earum principales continere [I p. 4, 1 sq.]. eae uero sunt, quaecunque per primam illarum originem eueniunt; nam etiam alias quasdam consequentias habent. alter autem, quae

---

18. ἄμινον W. 19. ἐνπιπτόντων W. 23. φησίν W. 24. βιβλία] στοιχεῖα p. περιέχει W. στοιχειώδη] Halley, στοιχείων δι' Wp. 25. περιέχει Halley.

τὰ παρὰ τὰς διαμέτρους καὶ τοὺς ἄξονας τῶν τομῶν συμβαίνοντα καὶ τὰς ἀσυμπτώτους καὶ ἄλλα γενικὴν καὶ ἀναγκαίαν χρείαν παρεχόμενα πρὸς τοὺς διορισμούς. ὁ δὲ διορισμὸς ὅτι διπλοῦς ἐστι, παντί που δῆλον, ὁ μὲν μετὰ τὴν ἔκθεσιν ἐφιστάνων, τί ἔστι τὸ ζητούμενον, ὁ δὲ τὴν πρότασιν οὐ συγχωρῶν καθολικὴν εἶναι, λέγων δέ, πότε καὶ πῶς καὶ ποσαχῶς δυνατὸν συστῆναι τὸ προτιθέμενον, οἷός ἐστιν ὁ ἐν τῷ εἰκοστῷ δευτέρῳ θεωρήματι τοῦ πρώτου βιβλίου τῆς Εὐκλείδου στοιχειώσεως· ἐκ τριῶν εὐθειῶν, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις, τρίγωνον συστήσασθαι· δεῖ δὴ τὰς δύο τῆς λοιπῆς μείζονας εἶναι πάντῃ μεταλαμβανομένας, ἐπειδὴ δέδεικται, ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι. τὸ δὲ τρίτον τῶν κωνικῶν περιέχειν φησὶ πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρὸς τὰς συνθέσεις τῶν στερεῶν τόπων. ἐπιπέδους τόπους ἔθος τοῖς παλαιοῖς γεωμέτραις λέγειν, ὅταν ἐπὶ τῶν προβλημάτων οὐκ ἀφ' ἑνὸς σημείου μόνον, ἀλλ' ἀπὸ πλειόνων γίνεται τὸ πρόβλημα, οἷον εἰ ἐπιτάξει τις εὐθείας δοθείσης πεπερασμένης εὑρεῖν τι σημεῖον, ἀφ' οὗ ἡ ἀχθεῖσα κάθετος ἐπὶ τὴν δοθεῖσαν μέση ἀνάλογον γίνεται τῶν τμημάτων, τόπον καλοῦσι τὸ τοιοῦτον· οὐ μόνον γὰρ ἓν σημεῖόν ἐστι τὸ ποιοῦν τὸ πρόβλημα, ἀλλὰ τόπος ὅλος, ὃν ἔχει ἡ περιφέρεια τοῦ περὶ διάμετρον τὴν δοθεῖσαν εὐθεῖαν κύκλου. ἐὰν γὰρ ἐπὶ τῆς δοθείσης εὐθείας ἡμικύκλιον γραφῇ, ὅπερ ἂν ἐπὶ τῆς περιφερείας λάβῃς σημεῖον καὶ ἀπ' αὐτοῦ κάθετον

6. ἔστιν W. 9. εἰκοστο W. 11. τρισίν W. 15. εἰσιν W. 16. φησίν W. 22. πε— in mg. transit m. 1 W.

diametri axesque sectionum et asymptotae propria habent aliaque, quae usum generalem necessariumque ad determinationes praebent [I p. 4, 5—8]. determinationem uero duplicem esse, omnibus notum est, alteram, quae post expositionem declarat, quid quaeratur, alteram, quae propositionem negat generalem esse definitque, quando quomodo quot modis propositum construi possit, qualis est in propositione XXII primi libri Elementorum Euclidis: ex tribus rectis, quae tribus datis aequales sunt, triangulum construere; oportet uero duas reliqua maiores esse quoquo modo coniunctas, quoniam demonstratum est, in quouis triangulo duo latera reliquo maiora esse quoquo modo coniuncta. tertium autem Conicorum dicit continere [I p. 4, 10—12] plurima et mira theoremata ad compositionem locorum solidorum utilia. loca plana mos est antiquis geometris uocare, ubi in problematis non uno solo puncto sed compluribus efficitur propositum; uelut si quis postulat, ut data recta terminata punctum aliquod inueniatur, unde quae ad datam perpendicularis ducatur media proportionalis fiat inter eius partes, hoc locum uocant; nam non unum solum punctum problema efficit, sed locus totus, quem obtinet ambitus circuli circum diametrum datam rectam descripti. nam in data recta semicirculo descripto, quodcunque punctum in ambitu sumitur et inde recta ad diametrum perpendicularis ducitur, propositum efficit. eodem modo si quis postulat, ut extra

24. καλοῦσιν W. 25. ἐστιν W. 26. ἀλλά — p. 180, 5. πρόβλημα] mg. inf. m. 1 alio atramento p; mg. ὅρα κάτω. 29. λάβεις W.

ἀγάγῃς ἐπὶ τὴν διάμετρον, ποιήσει τὸ προβληθέν. ὁμοίως δὲ δοθείσης εὐθείας ἐάν τις ἐπιτάξῃ εὑρεῖν ἐκτὸς αὐτῆς σημεῖον, ἀφ' οὗ αἱ ἐπιζευγνύμεναι ἐπὶ τὰ πέρατα τῆς εὐθείας ἴσαι ἔσονται ἀλλήλαις, καὶ ἐπὶ τούτου οὐ μόνον ἓν σημεῖόν ἐστι τὸ ποιοῦν τὸ πρόβλημα, ἀλλὰ τόπος, ὃν ἐπέχει ἡ ἀπὸ τῆς διχοτομίας πρὸς ὀρθὰς ἀγομένη· ἐὰν γὰρ τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμὼν καὶ ἀπὸ τῆς διχοτομίας πρὸς ὀρθὰς ἀγάγῃς, ὃ ἂν ἐπ' αὐτῆς λάβῃς σημεῖον, ποιήσει τὸ ἐπιταχθέν.

ὅμοιον γράφει καὶ αὐτὸς Ἀπολλώνιος ἐν τῷ Ἀναλυομένῳ τόπῳ ἐπὶ τοῦ ὑποκειμένου.

δύο δοθέντων [εὐθειῶν] ἐν ἐπιπέδῳ [καὶ] σημείων καὶ λόγου δοθέντος ἀνίσων εὐθειῶν δυνατόν ἐστιν ἐν τῷ ἐπιπέδῳ γράψαι κύκλον ὥστε τὰς ἀπὸ τῶν δοθέντων σημείων ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου κλωμένας εὐθείας λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι.

ἔστω τὰ μὲν δοθέντα σημεῖα τὰ A, B, λόγος δὲ ὁ τῆς Γ πρὸς τὴν Δ μείζονος οὔσης τῆς Γ· δεῖ δὴ ποιῆσαι τὸ ἐπιταχθέν. ἐπεζεύχθω ἡ AB καὶ ἐκβεβλήσθω ἐπὶ τὰ πρὸς τῷ B μέρη, καὶ γεγονέτω, ὡς ἡ Δ πρὸς τὴν Γ, ἡ Γ πρὸς ἄλλην τινὰ μείζονα δηλονότι τῆς Δ, καὶ ἔστω, εἰ τύχοι, πρὸς τὴν $E\Delta$, καὶ πάλιν γεγονέτω, ὡς ἡ E πρὸς τὴν AB, ἡ Δ πρὸς τὴν BZ καὶ ἡ Γ πρὸς τὴν H. φανερὸν δή, ὅτι ἥ τε Γ μέση ἀνάλογόν ἐστι τῆς $E\Delta$ καὶ τῆς Δ καὶ ἡ

1. ἀγάγεις W. 2. ἐπιτάξει W. εὑρεῖν] —εῖν e corr. p. 4. τῆς] bis p. 5. ἔστιν W. 6. τόπος, ὃν] τὸ ποσον W, τὸ ποσόν p; corr. U. 8. καί] fort. delendum. ἀγάγεις W. 9. ποιήσης p. 13. δοθέντων] Halley, δοθεισῶν Wp. εὐθειῶν] deleo, σημείων Halley. καί] del. Halley. σημείων] U Comm., σημείου Wp, del. Halley.

datam rectam punctum inueniatur, a quo rectae ad terminos datae rectae ductae inter se aequales sint, hic quoque non unum solum punctum propositum efficit, sed locus, quem obtinet recta a puncto medio perpendicularis ducta; nam si data recta in duas partes aequales secta a puncto medio perpendicularem duxeris, quodcunque in ea sumpseris punctum, propositum efficiet.

simile quiddam in Loco resoluto et ipse Apollonius scribit, ut infra dedimus:

datis duobus in plano punctis et proportione duarum rectarum inaequalium fieri potest, ut in plano circulus describatur, ita ut rectae a datis punctis ad ambitum circuli fractae rationem habeant datae aequalem.

sint A, B puncta data, data autem proportio $\Gamma : \Delta$, ita ut Γ maior sit. oportet igitur propositum efficere.



ducatur AB et ad partes B uersus producatur, fiatque, ut $\Delta : \Gamma$, ita Γ ad aliam aliquam, quae scilicet maior est quam Δ, sitque ea $E + \Delta$; et rursus fiat

$$E : AB = \Delta : BZ = \Gamma : H.$$

Η τῶν ΑΖ, ΖΒ· καὶ κέντρῳ μὲν τῷ Ζ διαστήματι δὲ τῇ Η κύκλος γεγράφθω ὁ ΚΘ. φανερὸν δή, ὅτι τέμνει ἡ ΚΘ περιφέρεια τὴν ΑΒ εὐθεῖαν· ἡ γὰρ Η εὐθεῖα μέση ἀνάλογόν ἐστι τῶν ΑΖ, ΖΒ. εἰλήφθω δὴ ἐπὶ τῆς περιφερείας τυχὸν σημεῖον τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΑ, ΘΒ, ΘΖ. ἴση ἄρα ἐστὶν ἡ ΘΖ τῇ Η, καὶ διὰ τοῦτό ἐστιν, ὡς ἡ ΑΖ πρὸς τὴν ΖΘ, ἡ ΖΘ πρὸς ΖΒ. καὶ περὶ τὴν αὐτὴν γωνίαν τὴν ὑπὸ ΘΖΒ ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΖΘ τῷ ΘΒΖ τριγώνῳ, καὶ ἴση ἡ ὑπὸ ΖΘΒ γωνία τῇ ὑπὸ ΘΑΒ. ἤχθω δὴ διὰ τοῦ Β τῇ ΑΘ παράλληλος ἡ ΒΛ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΖ πρὸς ΖΘ, ἡ ΘΖ πρὸς ΖΒ, καὶ ὡς ἄρα πρώτη ἡ ΑΖ πρὸς τρίτην τὴν ΖΒ, τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΘ. ἀλλ' ὡς ἡ ΑΖ πρὸς ΖΒ, ἡ ΑΘ πρὸς ΒΛ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΘ, ἡ ΑΘ πρὸς ΒΛ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΘΖ τῇ ὑπὸ ΘΑΒ, ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΘΒ τῇ ὑπὸ ΘΒΛ ἴση· ἐναλλὰξ γάρ· καὶ ἡ λοιπὴ ἄρα τῇ λοιπῇ ἴση ἐστίν, καὶ ὅμοιόν ἐστι τὸ ΑΘΒ τῷ ΒΘΛ, καὶ ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ὡς ἡ ΑΘ πρὸς ΘΒ, ἡ ΘΒ πρὸς ΒΛ, καὶ ὡς τὸ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ, ἡ ΑΘ πρὸς ΒΛ. ἦν δὲ καί, ὡς ἡ ΑΘ πρὸς ΒΛ, τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΘ· ὡς ἄρα τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΘ, τὸ ἀπὸ ΑΘ πρὸς τὸ ἀπὸ ΘΒ, καὶ διὰ τοῦτο, ὡς ἡ ΑΖ πρὸς ΖΘ, ἡ ΑΘ πρὸς ΘΒ. ἀλλ' ὡς ἡ ΑΖ πρὸς ΖΘ, ἡ ΕΔ πρὸς Γ καὶ ἡ Γ πρὸς Δ· καὶ ὡς ἄρα ἡ Γ πρὸς Δ, ἡ ΑΘ πρὸς ΘΒ. ὁμοίως δὴ δειχθήσονται πᾶσαι αἱ ἀπὸ τῶν Α, Β σημείων ἐπὶ τὴν

5. ἐπιζεύχθωσαν W, corr. m. 1. 9. ἐστίν W. 14. ΑΖ (alt.)] Z e corr. m. 1 W. 17. ΘΑΒ] Θ corr. ex Β m. 1 p. ἔστιν W.

manifestum igitur, esse Γ mediam proportionalem inter $E + \Delta$ et Δ, H autem inter AZ et ZB.[1]) et centro Z radio autem H describatur circulus $K\Theta$. manifestum igitur, arcum $K\Theta$ rectam AB secare; nam recta H media proportionalis est inter AZ, ZB. iam in ambitu punctum aliquod sumatur Θ, ducanturque ΘA, ΘB, ΘZ. itaque $\Theta Z = H$; quare $AZ : Z\Theta = Z\Theta : ZB$. et circum eundem angulum ΘZB latera proportionalia sunt; itaque trianguli $AZ\Theta$, ΘBZ similes sunt et $\angle Z\Theta B = \Theta AB$ [Eucl. VI, 6]. iam per B rectae $A\Theta$ parallela ducatur $B\Delta$. quoniam igitur est

$$AZ : Z\Theta = Z\Theta : ZB,$$

erit etiam [Eucl. V def. 9] $AZ : ZB = AZ^2 : Z\Theta^2$. uerum $AZ : ZB = A\Theta : B\Delta$ [Eucl. VI, 4]; quare etiam $AZ^2 : Z\Theta^2 = A\Theta : B\Delta$. rursus quoniam $\angle B\Theta Z = \Theta AB$ et etiam $\angle A\Theta B = \Theta B\Delta$ [Eucl. I, 29] (alterni enim sunt), etiam reliquus reliquo aequalis est, et triangulus $A\Theta B$ triangulo $B\Theta\Delta$ similis est et latera aequales angulos comprehendentia proportionalia [Eucl. VI, 4] $A\Theta : \Theta B = \Theta B : B\Delta$; et $A\Theta^2 : \Theta B^2 = A\Theta : B\Delta$ [Eucl. V def. 9]. erat autem etiam $A\Theta : B\Delta = AZ^2 : Z\Theta^2$. quare

$$AZ^2 : Z\Theta^2 = A\Theta^2 : \Theta B^2 \text{ et } AZ : Z\Theta = A\Theta : \Theta B.$$

sed $AZ : Z\Theta = E + \Delta : \Gamma = \Gamma : \Delta$ [u. not.]. quare etiam $\Gamma : \Delta = A\Theta : \Theta B$. iam eodem modo demonstrabimus, omnes rectas a punctis A, B ad

1) Erat $E : AB = \Delta : BZ = \Gamma : H = E + \Delta : AZ$. itaque $E + \Delta : \Gamma = AZ : H = \Gamma : \Delta = H : BZ$.

19. ἐστίν] ἐστί p. ἐστι] ἐστιν W. 20. $B\Theta\Delta$] B e corr. p. 25. καί] seq. lacuna 1 litt. p, καὶ ἡ W.

περιφέρειαν τοῦ κύκλου κλώμεναι τὸν αὐτὸν ἔχουσαι λόγον ταῖς Γ, Δ.

λέγω δή, ὅτι πρὸς ἄλλῳ σημείῳ μὴ ὄντι ἐπὶ τῆς περιφερείας οὐ γίνεται λόγος τῶν ἀπὸ τῶν Α, Β σημείων ἐπ' αὐτὸ ἐπιζευγνυμένων εὐθειῶν ὁ αὐτὸς τῷ τῆς Γ πρὸς Δ.

εἰ γὰρ δυνατόν, γεγονέτω πρὸς τῷ Μ ἐκτὸς τῆς περιφερείας· καὶ γὰρ εἰ ἐντὸς ληφθείη, τὸ αὐτὸ ἄτοπον συμβήσεται καθ' ἑτέραν τῶν ὑποθέσεων· καὶ ἐπεζεύχθωσαν αἱ ΜΑ, ΜΒ, ΜΖ, καὶ ὑποκείσθω, ὡς ἡ Γ πρὸς Δ, οὕτως ἡ ΑΜ πρὸς ΜΒ. ἔστιν ἄρα, ὡς ἡ ΕΔ πρὸς Δ, οὕτως τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ Γ καὶ τὸ ἀπὸ ΑΜ πρὸς τὸ ἀπὸ ΜΒ. ἀλλ' ὡς ἡ ΕΔ πρὸς Δ, οὕτως ὑπόκειται ἡ ΑΖ πρὸς ΖΒ· καὶ ὡς ἄρα ἡ ΑΖ πρὸς ΖΒ, τὸ ἀπὸ ΑΜ πρὸς τὸ ἀπὸ ΜΒ. καὶ διὰ τὰ προδειχθέντα, ἐὰν ἀπὸ τοῦ Β τῇ ΑΜ παράλληλον ἀγάγωμεν, δειχθήσεται, ὡς ἡ ΑΖ πρὸς ΖΒ, τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΜ. ἐδείχθη δὲ καί, ὡς ἡ ΑΖ πρὸς ΖΒ, τὸ ἀπὸ ΑΖ πρὸς τὸ ἀπὸ ΖΘ. ἴση ἄρα ἡ ΖΘ τῇ ΖΜ· ὅπερ ἀδύνατον.

τόποι οὖν ἐπίπεδοι λέγονται τὰ τοιαῦτα· οἱ δὲ λεγόμενοι στερεοὶ τόποι τὴν προσωνυμίαν ἐσχήκασιν ἀπὸ τοῦ τὰς γραμμάς, δι' ὧν γράφονται τὰ κατ' αὐτοὺς προβλήματα, ἐκ τῆς τομῆς τῶν στερεῶν τὴν γένεσιν ἔχειν, οἷαί εἰσιν αἱ τοῦ κώνου τομαὶ καὶ ἕτεραι πλείους. εἰσὶ δὲ καὶ ἄλλοι τόποι πρὸς ἐπιφάνειαν λεγόμενοι, οἳ τὴν ἐπωνυμίαν ἔχουσιν ἀπὸ τῆς περὶ αὐτοὺς ἰδιότητος.

---

2. Γ] *Δ* Wp, corr. U. 3. *ἄλλῳ*] corr. ex *ἄλλο* m. 1 W. 4. *τῶν Δ*] scripsi, *Δ* Wp. 9. *ἑτέραν*] scr. *ἑκατέραν*.

ambitum circuli fractas eandem rationem habere quam $\Gamma : \Delta$.

iam dico, ad nullum aliud punctum, quod in ambitu non sit, rationem rectarum a punctis A, B ad id ductarum eandem fieri quam $\Gamma : \Delta$.

nam si fieri potest, fiat ad M extra ambitum positum; nam etiam si intra eum sumitur, idem absurdum euenit per utramque suppositionem; ducanturque MA, MB, MZ, et supponatur $\Gamma : \Delta = AM : MB$. itaque

$$E + \Delta : \Delta = (E + \Delta)^2 : \Gamma^2 = AM^2 : MB^2$$

[p. 183 not. 1]. supposuimus autem

$$E + \Delta : \Delta = AZ : ZB;$$

quare etiam $AZ : ZB = AM^2 : MB^2$. et eodem modo, quo supra demonstratum est [p. 182, 11 sq.], si a B rectae AM parallelam duxerimus, demonstrabimus, esse $AZ : ZB = AZ^2 : ZM^2$. demonstrauimus autem, esse etiam $AZ : ZB = AZ^2 : Z\Theta^2$ [p. 182, 13 sq.]. ergo $Z\Theta = ZM$; quod fieri non potest.

plana igitur loca talia uocantur, solida uero quae uocantur loca nomen inde acceperunt, quod lineae, per quas problemata ad ea pertinentia soluuntur, e sectione solidorum originem ducunt, quales sunt coni sectiones aliaeque complures. sunt autem et alia loca ad superficiem quae uocantur a proprietate sua ita denominata.

---

10. MB] M e corr. p. 12. *οὕτω* p. 14. *—ως ὑπόκ.* — 17. *ἡ* AZ] in ras. m. 1 p. 21. *δέ*] addidi; om. Wp. 22. *προσονυμίαν* W. 25. *ἔχειν*] *ἔχει* Wp, corr. U. 26. *εἰσίν* W. 27. *ἐπωνυμίαν*] *ω* corr. ex *ο* m. 1 p, *ἐπονυμίαν* W. 28. *εἰδιότητος* W.

μέμφεται δὲ ἑξῆς τῷ Εὐκλείδῃ οὐχ, ὡς οἴεται Πάππος καὶ ἕτεροί τινες, διὰ τὸ μὴ εὑρηκέναι δύο μέσας ἀνάλογον· ὅ τε γὰρ Εὐκλείδης ὑγιῶς εὗρε τὴν μίαν μέσην ἀνάλογον, ἀλλ' οὐχ ὡς αὐτός φησιν οὐκ εὐτυχῶς, καὶ περὶ τῶν δύο μέσων οὐδὲ ὅλως ἐπεχείρησε ζητῆσαι ἐν τῇ στοιχειώσει, αὐτὸς ὅ τε Ἀπολλώνιος οὐδὲν περὶ τῶν δύο μέσων ἀνάλογον φαίνεται ζητῆσαι ἐν τῷ τρίτῳ βιβλίῳ· ἀλλ', ὡς ἔοικεν, ἑτέρῳ βιβλίῳ περὶ τόπων γεγραμμένῳ τῷ Εὐκλείδῃ ἐπισκήπτει, ὅπερ εἰς ἡμᾶς οὐ φέρεται.

τὰ δὲ ἐφεξῆς περὶ τοῦ τετάρτου βιβλίου λεγόμενα σαφῆ ἐστιν. τὸ δὲ πέμπτον φησὶ περιέχειν τὰ περὶ τῶν ἐλαχίστων καὶ μεγίστων. ὥσπερ γὰρ ἐπὶ τοῦ κύκλου ἐμάθομεν ἐν τῇ στοιχειώσει, ὅτι ἔστι τι σημεῖον ἐκτός, ἀφ' οὗ τῶν μὲν πρὸς τὴν κοίλην περιφέρειαν προσπιπτουσῶν μεγίστη ἐστὶν ἡ διὰ τοῦ κέντρου, τῶν δὲ πρὸς τὴν κυρτὴν ἐλαχίστη ἐστὶν ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου, οὕτως καὶ ἐπὶ τῶν τοῦ κώνου τομῶν ζητεῖ ἐν τῷ πέμπτῳ βιβλίῳ. τοῦ δὲ ἕκτου καὶ ἑβδόμου καὶ ὀγδόου σαφῶς ἡ πρόθεσις ὑπ' αὐτοῦ εἴρηται. καὶ ταῦτα μὲν περὶ τῆς ἐπιστολῆς.

Ἀρχόμενος δὲ τῶν ὅρων γένεσιν ὑπογράφει κωνικῆς ἐπιφανείας, ἀλλ' οὐ τὸν τί ἔστι διορισμὸν παραδέδωκεν· ἔξεστι δὲ τοῖς βουλομένοις ἐκ τῆς γενέσεως αὐτῆς τὸν ὅρον λαμβάνειν. τὸ δὲ λεγόμενον ὑπ' αὐτοῦ διὰ καταγραφῆς σαφὲς ποιήσομεν·

ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν καὶ τὰ ἑξῆς. ἔστω κύκλος ὁ AB, οὗ κέν-

1. ἑξῆς] ἑ- in ras. m. 1 p. 3. ὑγειῶς W. εὗρεν W. 5. ἐπιχείρησεν mut. in ἐπεχείρησεν m. 1 W. 7. μέσων] σημείων Wp, corr. Comm. 9. τόποι W. 12. ἔστι p. 12.

deinde uero Euclidem uituperat [I p. 4, 13], non, ut Pappus et alii quidam putant, quod duas medias proportionales non inuenerit; nam et Euclides recte unam mediam proportionalem inuenit, nec ut ille dicit [I p. 4, 15] „non optime", duasque medias in Elementis omnino non adgressus est, et Apollonius ipse in tertio libro de duabus mediis proportionalibus nihil quaerere uidetur; sed, ni fallor, alium quendam librum ab Euclide de locis scriptum uituperat, qui nunc non exstat.

quae deinde de libro quarto dicit, manifesta sunt. quintum autem de minimis et maximis tractare dicit [I p. 4, 23]. sicut enim in Elementis [III, 8] in circulo didicimus, esse punctum aliquod extra circulum, unde quae ad cauam partem ambitus adcidant, earum maximam esse, quae per centrum ducta sit, rectarum autem ad conuexam partem ambitus adcidentium minimam esse, quae inter punctum et diametrum posita sit, ita similia in sectionibus coni quaerit in quinto libro. de sexto autem et septimo et octauo propositum ipse satis clare exposuit. haec de epistula.

Definitiones autem ordiens originem superficiei conicae describit, sed quae sit, non definit; licet autem iis, qui uoluerint, ex origine definitionem deriuare. sed quod dicit, figura manifestum reddemus.

si a puncto aliquo ad ambitum circuli et quae sequuntur [I p. 6, 2]. sit circulus AB, cuius

---

φησίν W. 14. στοιχειόσει W, sed corr. m. 1. τῶν] in ras. m. 1 W. 15. περιφέρει- in ras. m. 1 W. 18. οὕτω p. 23. τόν] scripsi; τό Wp. ἔστιν W. διορισμόν] scripsi; διορισμοῦ Wp. 24. ἔξεστιν W. 27—28. ξ mg. W.

τρον τὸ Γ, καὶ σημεῖόν τι μετέωρον τὸ Δ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΒ ἐκβεβλήσθω εἰς ἄπειρον ἐφ᾽ ἑκάτερα μέρη ὡς ἐπὶ τὰ Ε, Ζ. ἐὰν δὴ μένοντος τοῦ Δ ἡ ΔΒ φέρηται, ἕως ἂν τὸ Β ἐνεχθὲν κατὰ τῆς τοῦ ΑΒ κύκλου περιφερείας ἐπὶ τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, γεννήσει ἐπιφάνειάν τινα, ἥτις σύγκειται ἐκ δύο ἐπιφανειῶν ἁπτομένων ἀλλήλων κατὰ τὸ Δ, ἣν καὶ καλεῖ κωνικὴν ἐπιφάνειαν. φησὶ δέ, ὅτι καὶ εἰς ἄπειρον αὔξεται διὰ τὸ καὶ τὴν γράφουσαν αὐτὴν εὐθεῖαν οἷον τὴν ΔΒ εἰς ἄπειρον ἐκβάλλεσθαι. κορυφὴν δὲ τῆς ἐπιφανείας λέγει τὸ Δ, ἄξονα δὲ τὴν ΔΓ.

κῶνον δὲ λέγει τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ ΑΒ κύκλου καὶ τῆς ἐπιφανείας, ἣν μόνη γράφει ἡ ΔΒ εὐθεῖα, κορυφὴν δὲ τοῦ κώνου τὸ Δ, ἄξονα δὲ τὴν ΔΓ, βάσιν δὲ τὸν ΑΒ κύκλον.

καὶ ἐὰν μὲν ἡ ΔΓ πρὸς ὀρθὰς ᾖ τῷ ΑΒ κύκλῳ, ὀρθὸν καλεῖ τὸν κῶνον, ἐὰν δὲ μὴ πρὸς ὀρθάς, σκαληνόν· γενήσεται δὲ κῶνος σκαληνός, ὅταν λαβόντες κύκλον ἀπὸ τοῦ κέντρου αὐτοῦ ἀναστήσωμεν εὐθεῖαν μὴ πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ τοῦ κύκλου, ἀπὸ δὲ τοῦ μετεώρου σημείου τῆς ἀναταθείσης εὐθείας ἐπὶ τὸν κύκλον ἐπιζεύξωμεν εὐθεῖαν καὶ περιαγάγωμεν τὴν ἐπιζευχθεῖσαν εὐθεῖαν περὶ τὸν κύκλον τοῦ πρὸς τῷ μετεώρῳ σημείῳ τῆς ἀναταθείσης μένοντος· τὸ γὰρ προσληφθὲν σχῆμα κῶνος ἔσται σκαληνός.

---

2. εἰς] ἐπ᾽ p. 3. δή] δέ Wp, corr. Comm. ΔΒ] Δ e corr. m. 1 W. 5. ἀποκατασταθεῖ W. 9. φησίν W. 10. ΔΒ] p, ΑΒ W. 15. εὐθεῖα] om. p. τὸ Δ ἄξο- in ras. m. 1 W. 22. ἀνασταθείσης Halley ut lin. 25. 26. προληφθέν Wp, corr. vw; fort. περιληφθέν. In fig. Λ pro Α W, corr. m. 2.

centrum sit Γ, et punctum aliquod sublime Δ, ductaque ΔB in infinitum producatur in utramque partem ut ad E, Z. si igitur manente Δ mouebitur ΔB, donec B per ambitum circuli AB circumactum rursus ad eundem locum perueniat, unde moueri coeptum est, superficiem quandam efficiet, quae ex duabus superficiebus inter se in Δ tangentibus composita est, quam superficiem conicam uocat. dicit autem [I p. 6, 9 sq.], eam in infinitum crescere, quod recta eam describens ut ΔB in infinitum producatur. uerticem autem superficiei punctum Δ uocat et axem $\Delta\Gamma$ [I p. 6, 11 sq.].



conum autem uocat [I p. 6, 14 sq.] figuram comprehensam circulo AB et superficie, quam describit recta ΔB sola, uerticem autem coni Δ, axem autem $\Delta\Gamma$, basim autem circulum AB.

et si $\Delta\Gamma$ ad circulum AB perpendicularis est, conum rectum uocat [I p. 6, 20 sq.], sin perpendicularis non est, obliquum; obliquus autem conus orietur, si sumpto circulo a centro rectam erexerimus ad planum circuli non perpendicularem, et a puncto sublimi rectae erectae ad circulum rectam duxerimus ductamque rectam per circulum circumegerimus manente eo puncto, quod ad punctum sublime rectae erectae positum est; nam figura ita comprehensa conus erit obliquus.

δῆλον δέ, ὅτι ἡ περιαγομένη εὐθεῖα ἐν τῇ περιαγωγῇ μείζων καὶ ἐλάττων γίνεται, κατά δέ τινας θέσεις καὶ ἴση πρὸς ἄλλο καὶ ἄλλο σημεῖον τοῦ κύκλου. ἀποδείκνυται δὲ τοῦτο οὕτως· ἐὰν κώνου σκαληνοῦ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθῶσιν εὐθεῖαι, πασῶν τῶν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθεισῶν εὐθειῶν μία μέν ἐστιν ἐλαχίστη μία δὲ μεγίστη, δύο δὲ μόναι ἴσαι παρ' ἑκάτερα τῆς ἐλαχίστης καὶ τῆς μεγίστης, ἀεὶ δὲ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάσσων. ἔστω κῶνος σκαληνός, οὗ βάσις μὲν ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ ἡ ἀπὸ τῆς κορυφῆς τοῦ σκαληνοῦ κώνου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἀγομένη ἤτοι ἐπὶ τῆς περιφερείας τοῦ ΑΒΓΖΗ κύκλου πεσεῖται ἢ ἐκτὸς ἢ ἐντός, ἐμπιπτέτω πρότερον ἐπὶ τῆς περιφερείας ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς ἡ ΔΕ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου καὶ ἔστω τὸ Κ, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Κ ἐπεζεύχθω ἡ ΕΚ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΒΔ, καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Ε αἱ ΕΖ, ΕΗ, καὶ παρ' ἑκάτερα τοῦ Β αἱ ΑΒ, ΒΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΕΗ, ΔΖ, ΔΗ, ΕΑ, ΕΓ, ΑΒ, ΒΓ, ΔΑ, ΔΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΖ εὐθεῖα τῇ ΕΗ εὐθείᾳ· ἴσας γὰρ περιφερείας ὑποτείνουσιν· κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΕ, βάσις ἄρα ἡ ΔΖ τῇ ΔΗ ἐστιν ἴση. πάλιν ἐπεὶ ἡ ΑΒ περιφέρεια τῇ ΒΓ ἐστιν ἴση, καὶ διάμετρος

---

5. *ἀπό — ἀ-*] in ras. m. 1 W. ϛ mg. W. 9. *ἔγγειον* W. 15. *τῆς*] *τῆς πρώτης κατά* W (e lin. 16). 18. *ἐπιζεύχθω* W. 20. *Ε*] e corr. m. 1 p. *ΕΗ*] *Ε* corr. ex *Γ* p. 22. *ΒΓ*] *ΑΓ* Wp, corr. U. *ΔΑ*] *ΔΑ, ΔΒ* Wp; corr. Comm. 26. *ΒΓ*] *ΔΓ* Wp, corr. U.

adparet autem, rectam circumactam in circumagendo maiorem et minorem fieri, in quibusdam autem positionibus etiam aequalem ad diuersa puncta circuli ductam. quod sic demonstratur:

si a uertice coni obliqui ad basim rectae ducuntur, omnium rectarum a uertice ad basim ductarum una minima est, una maxima, duaeque solae aequales ad utramque partem minimae et maximae, semper autem propior minimae minor est remotiore. sit conus obliquus, cuius basis sit circulus $AB\Gamma$, uertex autem Δ punctum. et quoniam recta a uertice coni obliqui ad planum subiacens perpendicularis ducta aut in ambitum circuli $AB\Gamma ZH$ ueniet aut extra aut intra, primum ad ambitum adcidat



ut in prima figura ΔE, sumaturque centrum circuli et sit K, ab E autem ad K ducatur EK producaturque ad B, et ducatur $B\Delta$, sumantur autem ad utramque partem puncti E duo arcus aequales EZ, EH et ad utramque partem puncti B aequales AB, $B\Gamma$, ducanturque EZ, EH, ΔZ, ΔH, EA, $E\Gamma$, AB, $B\Gamma$, ΔA, $\Delta\Gamma$. quoniam igitur $EZ = EH$ [Eucl. III, 29] (nam sub aequalibus arcubus subtendunt), communis autem et perpendicularis ΔE, erit $\Delta Z = \Delta H$ [Eucl. I, 4]. rursus quoniam arcus AB arcui $B\Gamma$ aequalis est et BE diametrus, reliquus arcus $EZ\Gamma$ reliquo EHA aequalis est; quare etiam $AE = E\Gamma$ [Eucl. III, 29]. $E\Delta$ autem communis ἡ BE, λοιπὴ ἄρα ἡ $EZ\Gamma$ τῇ $EH\varDelta$ ἐστιν ἴση· ὥστε καὶ ἡ $\varDelta E$ τῇ $E\Gamma$. κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $E\varDelta$· βάσις ἄρα ἡ $\varDelta\varDelta$ τῇ $\varDelta\Gamma$ ἐστιν ἴση. ὁμοίως δὴ καὶ πᾶσαι δειχθήσονται αἱ ἴσον ἀπέχουσαι τῆς $\varDelta E$ ἢ τῆς $\varDelta B$ ἴσαι. πάλιν ἐπεὶ τριγώνου τοῦ $\varDelta EZ$ ὀρθή ἐστι γωνία ἡ ὑπὸ $\varDelta EZ$, μείζων ἐστὶν ἡ $\varDelta Z$ τῆς $\varDelta E$. καὶ πάλιν ἐπεὶ μείζων ἐστὶν ἡ $E\varDelta$ εὐθεῖα τῆς EZ, ἐπεὶ καὶ περιφέρεια ἡ $EZ\varDelta$ τῆς EZ περιφερείας, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $\varDelta E$, ἡ $\varDelta Z$ ἄρα τῆς $\varDelta\varDelta$ ἐλάσσων ἐστίν. διὰ τὰ αὐτὰ καὶ ἡ $\varDelta\varDelta$ τῆς $\varDelta B$ ἐλάσσων ἐστίν. ἐπεὶ οὖν ἡ $\varDelta E$ τῆς $\varDelta Z$ ἐλάσσων ἐδείχθη, ἡ δὲ $\varDelta Z$ τῆς $\varDelta\varDelta$, ἡ δὲ $\varDelta\varDelta$ τῆς $\varDelta B$, ἐλαχίστη μέν ἐστιν ἡ $\varDelta E$, μεγίστη δὲ ἡ $\varDelta B$, ἀεὶ δὲ ἡ ἔγγιον τῆς $\varDelta E$ τῆς ἀπώτερον ἐλάσσων ἐστίν.

ἀλλὰ δὴ ἡ κάθετος πιπτέτω ἐκτὸς τοῦ $AB\Gamma HZ$ κύκλου ὡς ἐπὶ τῆς δευτέρας καταγραφῆς ἡ $\varDelta E$, καὶ εἰλήφθω πάλιν τὸ κέντρον τοῦ κύκλου τὸ K, καὶ ἐπεζεύχθω ἡ EK καὶ ἐκβεβλήσθω ἐπὶ τὸ B, καὶ ἐπεζεύχθωσαν αἱ $\varDelta B$, $\varDelta\Theta$, καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Θ αἱ ΘZ, ΘH καὶ παρ' ἑκάτερα τοῦ B αἱ AB, $B\Gamma$, καί ἐπεζεύχθωσαν αἱ EZ, EH, ZK, HK, $\varDelta Z$, $\varDelta H$, AB, $B\Gamma$, KA, $K\Gamma$, $\varDelta K$, $\varDelta A$, $\varDelta\Gamma$. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΘZ περιφέρεια τῇ ΘH, καὶ γωνία ἄρα ἡ ὑπὸ ΘKZ τῇ ὑπὸ ΘKH ἐστιν ἴση. ἐπεὶ οὖν ἡ ZK εὐθεῖα τῇ KH ἐστιν ἴση· ἐκ κέντρου γάρ· κοινὴ δὲ ἡ KE, καὶ γωνία ἡ ὑπὸ ZKE

1. BE] corr. ex $\varDelta E$ m. 1 W, $\varDelta E$ p. 4. αἱ] scripsi, om. Wp. 5. ἐστιν W. 10. ταὐτά p. 13. $\varDelta E$] E e corr. p. 15. δή] p, δέ W. $AB\Gamma HZ$] $AB\Gamma ZH$ p. 16. $\varDelta E$] E e corr. m. 1 p. 19. $\varDelta B$] $\varDelta$ corr. ex B in scribendo W. ἴσαι] supra scr. m. 1 W. 22. $\varDelta K$] om. Comm. 23. $\varDelta A$] $\varDelta A$, $\varDelta B$ Wp; corr. Comm. 26. KE] $K\Theta$ Wp; corr. Comm.

est et perpendicularis; itaque $\Delta A = \Delta \Gamma$. similiter demonstrabimus, omnes rectas, quae a ΔE uel ΔB aequaliter distent, aequales esse. rursus quoniam trianguli ΔEZ angulus ΔEZ rectus est, erit $\Delta Z > \Delta E$ [Eucl. I, 19]. et rursus quoniam $EA > EZ$, quia etiam arcus $EZA > EZ$ [Eucl. III, 29], et ΔE communis est et perpendicularis, erit $\Delta Z < \Delta A$ [Eucl. I, 47]. eadem de causa etiam $\Delta A < \Delta B$. quoniam igitur demonstrauimus, esse $\Delta E < \Delta Z$, $\Delta Z < \Delta A$, $\Delta A < \Delta B$, minima erit ΔE, maxima ΔB, semper autem, quae rectae ΔE propior est, minor remotiore.[1])

iam uero perpendicularis extra circulum $AB\Gamma HZ$ cadat ut in secunda figura ΔE, rursusque sumatur centrum circuli K, et ducatur EK producaturque ad B, et ducantur ΔB, $\Delta \Theta$, sumantur autem ad utramque partem puncti Θ duo arcus aequales ΘZ, ΘH et ad utramque partem puncti B aequales AB, $B\Gamma$, ducanturque EZ, EH, ZK, HK, ΔZ, ΔH, AB, $B\Gamma$, KA, $K\Gamma$, ΔK, ΔA, $\Delta \Gamma$. quoniam igitur arcus $\Theta Z = \Theta H$, erit etiam $\angle \Theta KZ = \Theta KH$ [Eucl. II, I27]. quoniam igitur $ZK = KH$ (radii enim sunt), et KE communis est, et $\angle ZKE = HKE$, erit $ZE = HE$



1) Nam $\Delta A = \Delta \Gamma$. itaque $\Delta E < \Delta Z < \Delta \Gamma < \Delta B$.

τῇ ὑπὸ HKE ἴση, καὶ βάσις ἡ ZE τῇ HE ἴση. ἐπεὶ οὖν ἡ ZE εὐθεῖα τῇ HE ἐστιν ἴση, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $E\varDelta$, βάσις ἄρα ἡ $\varDelta Z$ τῇ $\varDelta H$ ἐστιν ἴση. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ BA περιφέρεια τῇ $B\Gamma$, καὶ γωνία ἄρα ἡ ὑπὸ AKB τῇ ὑπὸ ΓKB ἐστιν ἴση· ὥστε καὶ λοιπὴ εἰς τὰς δύο ὀρθὰς ἡ ὑπὸ AKE λοιπῇ εἰς τὰς δύο ὀρθὰς τῇ ὑπὸ ΓKE ἐστιν ἴση. ἐπεὶ οὖν ἡ AK εὐθεῖα τῇ ΓK ἐστιν ἴση· ἐκ κέντρου γάρ· κοινὴ δὲ ἡ KE, δύο δυσὶν ἴσαι, καὶ γωνία ἡ ὑπὸ AKE τῇ ὑπὸ ΓKE· καὶ βάσις ἄρα ἡ AE τῇ ΓE ἐστιν ἴση. ἐπεὶ οὖν ἴση ἡ AE εὐθεῖα τῇ ΓE, κοινὴ δὲ ἡ $E\varDelta$ καὶ πρὸς ὀρθάς, βάσις ἄρα ἡ $\varDelta A$ τῇ $\varDelta \Gamma$ ἴση. ὁμοίως δὲ καὶ πᾶσαι δειχθήσονται αἱ ἴσον ἀπέχουσαι τῆς $\varDelta B$ ἢ τῆς $\varDelta \Theta$ ἴσαι. καὶ ἐπεὶ ἡ $E\Theta$ τῆς EZ ἐστιν ἐλάσσων, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $E\varDelta$, βάσις ἄρα ἡ $\varDelta \Theta$ βάσεως τῆς $\varDelta Z$ ἐστιν ἐλάσσων. πάλιν ἐπεὶ ἡ ἀπὸ τοῦ E ἐφαπτομένη τοῦ κύκλου πασῶν τῶν πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν μείζων ἐστίν, ἐδείχθη δὲ ἐν τῷ γ′ τῆς στοιχειώσεως τὸ ὑπὸ AE, $E\varLambda$ ἴσον τῷ ἀπὸ τῆς EZ, ὅταν ἡ EZ ἐφάπτηται, ἔστιν ἄρα, ὡς ἡ AE πρὸς EZ, ἡ EZ πρὸς $E\varLambda$. μείζων δέ ἐστιν ἡ EZ τῆς $E\varLambda$· ἀεὶ γὰρ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάσσων· μείζων ἄρα καὶ ἡ AE τῆς EZ. ἐπεὶ οὖν ἡ EZ τῆς EA ἐστιν ἐλάσσων, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $E\varDelta$, βάσις ἄρα ἡ $\varDelta Z$ τῆς $\varDelta A$ ἐστιν ἐλάσσων. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ AK τῇ KB, κοινὴ δὲ ἡ KE, δύο ἄρα αἱ AK, KE ταῖς EK, KB, τουτέστιν ὅλῃ τῇ EKB, εἰσιν ἴσαι. ἀλλ' αἱ AK, KE τῆς AE μείζονές εἰσιν· καὶ ἡ BE

1. ZE] $Z\Theta$ p. HE] $H\Theta$, H e corr. m. 1, p. 2. ZE] $Z\Theta$? p. HE] $H\Theta$ p. 4. BA] βάσις Wp, corr. Comm.

[Eucl. I, 4]. quoniam igitur $ZE = HE$, et $E\Delta$ communis perpendicularisque, erit $\Delta Z = \Delta H$ [Eucl. I, 4]. rursus quoniam arcus $BA = B\Gamma$, erit etiam

$$\angle AKB = \Gamma KB$$

[Eucl. III, 27]. quare etiam qui reliquus est ad duos rectos explendos, $\angle AKE = \Gamma KE$, qui reliquus est ad duos rectos explendos. quoniam igitur $AK = \Gamma K$ (radii enim sunt), et communis est KE, duo latera duobus aequalia sunt, et $\angle AKE = \Gamma KE$; quare etiam $AE = \Gamma E$. quoniam igitur $AE = \Gamma E$, et $E\Delta$ communis est perpendicularisque, erit $\Delta A = \Delta \Gamma$ [Eucl. I, 4]. et similiter demonstrabimus, etiam omnes rectas, quae a ΔB uel $\Delta \Theta$ aequaliter distent, aequales esse. et quoniam $E\Theta < EZ$, $E\Delta$ autem communis et perpendicularis, erit $\Delta\Theta < \Delta Z$ [Eucl. I, 47]. rursus quoniam recta ab E circulum contingens omnibus rectis ad conuexum ambitum adcidentibus maior est, et in tertio libro Elementorum [III, 36] demonstratum est, esse $AE \times E\Lambda = EZ^2$, si EZ contingit, erit [Eucl. VI, 17] $AE : EZ = EZ : E\Lambda$. uerum $EZ > E\Lambda$ [Eucl. III, 8]; nam semper proxima quaeque minimae minor est remotiore; itaque etiam $AE > EZ$ [Eucl. V, 14]. quoniam igitur $EZ < EA$, $E\Delta$ autem communis et perpendicularis, erit $\Delta Z < \Delta A$ [Eucl. I, 47]. rursus quoniam $AK = KB$, communis autem KE, duae rectae AK, KE duabus EK, KB siue toti EKB aequales

6. λοιπή — AKE] om. p. 9. AKE] K e corr. p. 10. AE] E e corr. m. 1 W. 12. $\Delta\Gamma$] $A\Gamma$ Wp, corr. Comm. 15. ἐλλάσσων W. 20. τῷ] pvw, τό W. ὅταν] ὅταν ἡ in extr. lin. W. 24. EZ] E e corr. p. EA] $E\Lambda$ Wp, corr. Halley. 26. ἐστίν] pvw, ins. m. 2 W. 27. KB] KB ἐστιν W (fort. recte); ἐστιν del. m. 2.

ἄρα τῆς ΑΕ μείζων ἐστίν. πάλιν ἐπεὶ ἡ ΑΕ τῆς ΕΒ ἐστιν ἐλάσσων, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΕΔ, βάσις ἄρα ἡ ΔΑ τῆς ΒΔ ἐστιν ἐλάσσων. ἐπεὶ οὖν ἡ ΔΘ τῆς ΔΖ ἐστιν ἐλάσσων, ἡ δὲ ΔΖ τῆς ΔΑ, ἡ δὲ ΔΑ τῆς ΔΒ, ἐλαχίστη μέν ἐστιν ἡ ΔΘ, μεγίστη δὲ ἡ ΔΒ, ἀεὶ δὲ ἡ ἔγγιον καὶ τὰ ἑξῆς.

ἀλλὰ δὴ ἡ κάθετος πιπτέτω ἐντὸς τοῦ ΑΒΓΗΖ κύκλου ὡς ἐπὶ τῆς τρίτης καταγραφῆς ἡ ΔΕ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Κ, καὶ ἐπεζεύχθω ἡ ΕΚ καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Β, Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΘ, ΔΒ, καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Θ αἱ ΘΖ, ΘΗ καὶ παρ' ἑκάτερα τοῦ Β αἱ ΑΒ, ΒΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΕΗ, ΖΚ, ΗΚ, ΔΖ, ΔΗ, ΚΑ, ΚΓ, ΕΑ, ΕΓ, ΔΑ, ΔΓ, ΑΒ, ΒΓ. ἐπεὶ οὖν ἴση ἡ ΘΖ περιφέρεια τῇ ΘΗ, καὶ γωνία ἄρα ἡ ὑπὸ ΘΚΖ γωνίᾳ τῇ ὑπὸ ΘΚΗ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΖ τῇ ΗΚ, κοινὴ δὲ ἡ ΚΕ, καὶ γωνία ἡ ὑπὸ ΖΚΕ γωνίᾳ τῇ ὑπὸ ΗΚΕ ἐστιν ἴση, βάσις ἄρα ἡ ΖΕ τῇ ΗΕ ἐστιν ἴση. ἐπεὶ οὖν ἡ ΖΕ τῇ ΗΕ ἐστιν ἴση, κοινὴ δὲ ἡ ΔΕ, καὶ γωνία ἡ ὑπὸ ΖΕΔ γωνίᾳ τῇ ὑπὸ ΗΕΔ ἐστιν ἴση, βάσις ἄρα ἡ ΔΖ τῇ ΔΗ ἐστιν ἴση. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ περιφέρεια τῇ ΒΓ, καὶ γωνία ἄρα ἡ ὑπὸ ΑΚΒ γωνίᾳ τῇ ὑπὸ ΓΚΒ ἐστιν ἴση· ὥστε καὶ λοιπὴ εἰς τὰς δύο ὀρθὰς ἡ ὑπὸ ΑΚΕ λοιπῇ εἰς τὰς δύο ὀρθὰς τῇ ὑπὸ ΓΚΕ ἐστιν ἴση. ἐπεὶ οὖν ἡ ΑΚ τῇ ΚΓ ἐστιν ἴση, κοινὴ δὲ ἡ ΕΚ, καὶ γωνία ἡ ὑπὸ ΑΚΕ γωνίᾳ τῇ ὑπὸ ΓΚΕ

---

3. ΔΑ] e corr. p. 12. αἱ] p, ἡ W (?). 15. ΔΓ] ΔΒ, ΔΓ W et e corr. p; corr. Comm. 17. τῇ] τῆς W.

sunt. uerum $AK + KE > AE$ [Eucl. I, 20]; quare etiam $BE > AE$. rursus quoniam $AE < EB$, $E\Delta$ autem communis et perpendicularis, erit $\Delta A < B\Delta$ [Eucl. I, 47]. quoniam igitur $\Delta\Theta < \Delta Z$, $\Delta Z < \Delta A$, $\Delta A < \Delta B$, minima est $\Delta\Theta$, maxima autem ΔB, et proxima quaeque cet.

iam uero perpendicularis intra circulum $AB\Gamma HZ$ cadat ut in tertia figura ΔE, et sumatur centrum circuli K, ducaturque EK et ad utramque partem producatur ad B, Θ, ducanturque $\Delta\Theta$, ΔB, sumantur autem ad utramque partem puncti Θ arcus aequales ΘZ, ΘH et ad utramque partem puncti B aequales AB, $B\Gamma$, ducanturque EZ, EH, ZK, HK, ΔZ, ΔH, KA, $K\Gamma$, EA, $E\Gamma$, ΔA, $\Delta\Gamma$, AB, $B\Gamma$. quoniam igitur arcus $\Theta Z = \Theta H$, erit etiam



$$\angle \Theta KZ = \Theta KH$$

[Eucl. III, 27]. et quoniam est $KZ = HK$, KE autem communis, et $\angle ZKE = HKE$, erit $ZE = EH$ [Eucl. I, 4]. quoniam igitur $ZE = HE$, communis autem ΔE, et $\angle ZE\Delta = HE\Delta$, erit $\Delta Z = \Delta H$ [Eucl. I, 4]. rursus quoniam arcus $AB = B\Gamma$, erit

---

20. HE (pr.)] in ras. m. 1 W. 26. AKE] E in ras. m. 1 W. λοιπῇ — ΓKE] om. Wp, corr. U. ἐστ- in ras. m. 1 W.

ἐστιν ἴση, βάσις ἄρα ἡ *ΑΕ* τῇ *ΓΕ* ἐστιν ἴση. ἐπεὶ οὖν ἡ *ΑΕ* τῇ *ΓΕ* ἐστιν ἴση, κοινὴ δὲ ἡ *ΕΔ*, καὶ γωνία ἡ ὑπὸ *ΑΕΔ* τῇ ὑπὸ *ΓΕΔ* ἴση, βάσις ἄρα ἡ *ΔΑ* τῇ *ΔΓ* ἐστιν ἴση. ὁμοίως δὴ καὶ πᾶσαι δειχθήσονται αἱ ἴσον ἀπέχουσαι ἢ τῆς *ΔΒ* ἢ τῆς *ΔΘ* ἴσαι. καὶ ἐπεὶ ἐν κύκλῳ τῷ *ΑΒΓ* ἐπὶ τῆς διαμέτρου εἴληπται σημεῖον τὸ *Ε* μὴ ὂν κέντρον τοῦ κύκλου, μεγίστη μὲν ἡ *ΕΒ*, ἐλαχίστη δὲ ἡ *ΕΘ*, ἀεὶ δὲ ἡ ἔγγιον τῆς *ΕΘ* τῆς ἀπώτερόν ἐστιν ἐλάσσων· ὥστε ἡ *ΕΘ* τῆς *ΕΖ* ἐστιν ἐλάσσων. καὶ ἐπεὶ ἡ *ΘΕ* τῆς *ΖΕ* ἐλάσσων ἐστίν, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς αὐταῖς ἡ *ΕΔ*, βάσις ἄρα ἡ *ΔΘ* βάσεως τῆς *ΔΖ* ἐλάσσων ἐστίν. πάλιν ἐπεὶ ἡ μὲν *ΕΖ* ἔγγιόν ἐστι τῆς *ΕΘ*, ἡ δὲ *ΑΕ* πορρωτέρω, ἐλάσσων ἐστὶν ἡ *ΕΖ* τῆς *ΑΕ*. ἐπεὶ οὖν ἐλάσσων ἡ *ΕΖ* τῆς *ΕΑ*, κοινὴ δὲ καὶ πρὸς ὀρθάς ἐστιν αὐταῖς ἡ *ΕΔ*, βάσις ἄρα ἡ *ΔΖ* βάσεως τῆς *ΔΑ* ἐστιν ἐλάσσων. πάλιν ἐπεὶ ἴση ἡ *ΑΚ* τῇ *ΚΒ*, κοινὴ δὲ ἡ *ΚΕ*, δύο αἱ *ΑΚ*, *ΚΕ* δύο ταῖς *ΒΚ*, *ΚΕ*, τουτέστιν ὅλῃ τῇ *ΒΚΕ*, εἰσιν ἴσαι. ἀλλ' αἱ *ΑΚ*, *ΚΕ* τῆς *ΑΕ* μείζονές εἰσιν· καὶ ἡ *ΕΒ* ἄρα τῆς *ΕΑ* μείζων ἐστίν. πάλιν ἐπεὶ ἡ *ΕΑ* τῆς *ΕΒ* ἐλάσσων ἐστίν, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς αὐταῖς ἡ *ΕΔ*, βάσις ἄρα ἡ *ΔΑ* βάσεως τῆς *ΔΒ* ἐστιν ἐλάσσων. ἐπεὶ οὖν ἡ *ΔΘ* τῆς *ΔΖ* ἐλάσσων, ἡ δὲ *ΔΖ* τῆς *ΔΑ*, ἡ δὲ *ΔΑ* τῆς *ΔΒ*, ἐλαχίστη μέν ἐστιν ἡ *ΔΘ* καὶ τὰ ἑξῆς.

Πάσης καμπύλης γραμμῆς, ἥτις ἐστὶν ἐν ἑνὶ ἐπιπέδῳ, διάμετρον καλῶ καὶ τὰ ἑξῆς. τὸ ἐν ἑνὶ ἐπιπέδῳ εἶπε διὰ τὴν ἕλικα τοῦ κυλίνδρου καὶ

4. *ΔΓ*] *ΑΓ* Wp, corr. Comm. 8. ἡ] p, αἱ W. *ΕΒ*] e corr. p. 13. *ΑΕ*] p, *Ε* W. 16. *ΔΑ*] *Α* e corr. p. 20. εἰσι p. 26. ⊱ mg. W. 28. εἶπεν W.

etiam $\angle AKB = \Gamma KB$ [Eucl. III, 27]. quare etiam qui ad duos rectos reliquus est, $\angle AKE = \Gamma KE$, qui ad duos rectos reliquus est. quoniam igitur $AK = K\Gamma$, communis autem EK, et $\angle AKE = \Gamma KE$, erit $AE = \Gamma E$ [Eucl. I, 4]. quoniam igitur $AE = \Gamma E$, communis autem $E\Delta$, et $\angle AE\Delta = \Gamma E\Delta$, erit $\Delta A = \Delta\Gamma$ [Eucl. I, 4]. iam similiter demonstrabimus, omnes rectas, quae aut a ΔB aut a $\Delta\Theta$ aequaliter distent, aequales esse. et quoniam in circulo $AB\Gamma$ in diametro sumptum est punctum E, quod centrum circuli non est, maxima est EB, minima autem $E\Theta$ et proxima quaeque rectae $E\Theta$ remotiore minor est [Eucl. III, 7]; erit igitur $E\Theta < EZ$. et quoniam est $\Theta E < ZE$, $E\Delta$ autem communis et perpendicularis, erit $\Delta\Theta < \Delta Z$ [Eucl. I, 47]. rursus quoniam EZ rectae $E\Theta$ propior est, AE autem remotior, erit $EZ < AE$. quoniam igitur $EZ < EA$, $E\Delta$ autem communis et ad eas perpendicularis, erit $\Delta Z < \Delta A$ [Eucl. I, 47]. rursus quoniam $AK = KB$, communis autem KE, erunt $AK + KE = BK + KE = BKE$. uerum $AK + KE > AE$ [Eucl. I, 20]. quare etiam $EB > EA$. rursus quoniam $EA < EB$, $E\Delta$ autem communis et ad eas perpendicularis, erit $\Delta A < \Delta B$ [Eucl. I, 47]. quoniam igitur $\Delta\Theta < \Delta Z$, $\Delta Z < \Delta A$, $\Delta A < \Delta B$, minima est $\Delta\Theta$ et quae sequuntur.

Omnis lineae curuae, quae in uno plano posita est, diametrum adpello, et quae sequuntur [I p. 6, 23]. „in uno plano" dixit propter spiralem cylindri et sphaerae; eae enim in uno plano positae non sunt. quod dicit, hoc est: sit linea curua $AB\Gamma$ et in ea rectae aliquot parallelae $A\Gamma$, ΔE, ZH, ΘK et a puncto τῆς σφαίρας· αὗται γὰρ οὐκ εἰσὶν ἐν ἑνὶ ἐπιπέδῳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἔστω καμπύλη γραμμὴ ἡ ΑΒΓ καὶ ἐν αὐτῇ εὐθεῖαί τινες παράλληλοι αἱ ΑΓ, ΔΕ, ΖΗ, ΘΚ, καὶ διήχθω ἀπὸ τοῦ Β εὐθεῖα ἡ ΒΔ δίχα αὐτὰς τέμνουσα. φησὶν οὖν, ὅτι τῆς ΑΒΓ γραμμῆς διάμετρον μὲν καλῶ τὴν ΒΔ, κορυφὴν δὲ τὸ Β, τεταγμένως δὲ ἐπὶ τὴν ΒΔ κατῆχθαι ἑκάστην τῶν ΑΓ, ΔΕ, ΖΗ, ΘΚ. εἰ δὲ ἡ ΒΔ δίχα καὶ πρὸς ὀρθὰς τέμνει τὰς παραλλήλους, ἄξων καλεῖται.

Ὁμοίως δὲ καὶ δύο καμπύλων γραμμῶν καὶ τὰ ἑξῆς. ἐὰν γὰρ νοήσωμεν τὰς Α, Β γραμμὰς καὶ ἐν αὐταῖς τὰς ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ παραλλήλους καὶ τὴν ΑΒ διηγμένην ἐφ' ἑκάτερα καὶ τέμνουσαν τὰς παραλλήλους δίχα, τὴν μὲν ΑΒ καλῶ, φησίν, πλαγίαν διάμετρον, κορυφὰς δὲ τῶν γραμμῶν τὰ Α, Β σημεῖα, τεταγμένως δὲ ἐπὶ τὴν ΑΒ τὰς ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ. εἰ δὲ δίχα καὶ πρὸς ὀρθὰς αὐτὰς τέμνει, ἄξων καλεῖται. ἐὰν δὲ διαχθεῖσά τις εὐθεῖα ὡς ἡ ΠΡ τὰς ΓΞ, ΕΜ, ΗΚ παραλλήλους τῇ ΑΒ δίχα τέμνει, ὀρθία μὲν διάμετρος καλεῖται ἡ ΠΡ, τεταγμένως δὲ κατῆχθαι ἐπὶ τὴν ΠΡ διάμετρον ἑκάστη τῶν ΓΞ, ΕΜ, ΗΚ. εἰ δὲ δίχα καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει, ἄξων ὀρθός, ἐὰν δὲ αἱ ΑΒ, ΠΡ



5. τέμνουσαι p. 8. εἰ] ἡ Wp, corr. Comm. ἡ] scripsi, om. Wp. καί] om. Wp, corr. Comm. 12. τάς] ταῖς Wp, corr. Comm. 14. Post καλῶ 1 litt. erasa (σ uel ι) W. 25.

B recta $B\Lambda$, quae eas in binas partes aequales secet. dicit igitur: lineae $AB\Gamma$ diametrum adpello $B\Lambda$, uerticem autem B, et ad $B\Lambda$ ordinate ductas esse $A\Gamma$, ΔE, ZH, ΘK. sin $B\Lambda$ et in binas partes aequales et ad angulos rectos rectas parallelas secat, axis uocatur.



Similiter uero etiam duarum linearum curuarum, et quae sequuntur [I p. 8, 1]. Si enim fingimus lineas A, B et in iis parallelas $\Gamma\Delta$, EZ, $H\Theta$, $K\Lambda$, MN, ΞO et AB ad utramque partem productam parallelasque in binas partes secantem, AB, inquit, diametrum transuersum adpello, uertices autem linearum A, B puncta, ordinate autem ad AB ductas $\Gamma\Delta$, EZ, $H\Theta$, $K\Lambda$, MN, ΞO. sin et in binas partes et ad angulos rectos eas secat, axis uocatur. sin recta ducta ut ΠP rectas $\Gamma\Xi$, EM, HK rectae AB parallelas in binas partes secat, ΠP diametrus recta uocatur, et $\Gamma\Xi$, EM, HK singulae ad diametrum ΠP ordinate ductae esse dicuntur. sin eam et in duas partes ae-



AB] A corr. ex Δ m. 1 W. ὀρθία μέν] ὁ (eras.) $\overline{\rho\vartheta}$ $\overline{\iota\alpha}$ μ W, ἡ ρθ $\overline{\alpha\mu}$ p; corr. Comm.

δίχα τέμνουσι τὰς ἀλλήλων παραλλήλους, λέγονται συζυγεῖς διάμετροι, ἐὰν δὲ δίχα καὶ πρὸς ὀρθάς, συζυγεῖς ἄξονες ὀνομάζονται.

Εἰς τὸ α'.

Περὶ τῶν διαφόρων καταγραφῶν ἤτοι πτώσεων τῶν θεωρημάτων τοσοῦτον ἰστέον, ὅτι πτῶσις μέν ἐστιν, ὅταν τὰ ἐν τῇ προτάσει δεδομένα τῇ θέσει ᾖ δοθέντα· ἡ γὰρ διάφορος αὐτῶν μετάληψις τοῦ αὐτοῦ συμπεράσματος ὄντος ποιεῖ τὴν πτῶσιν. ὁμοίως δὲ καὶ ἀπὸ τῆς κατασκευῆς μετατιθεμένης γίνεται πτῶσις. πολλὰς δὲ ἐχόντων τῶν θεωρημάτων πάσαις ἡ αὐτὴ ἀπόδειξις ἁρμόζει καὶ ἐπὶ τῶν αὐτῶν στοιχείων πλὴν βραχέων, ὡς ἑξῆς εἰσόμεθα· εὐθὺς γὰρ τὸ πρῶτον θεώρημα τρεῖς πρώσεις ἔχει διὰ τὸ τὸ λαμβανόμενον σημεῖον ἐπὶ τῆς ἐπιφανείας, τουτέστι τὸ B, ποτὲ μὲν εἰς τὴν κατωτέρω ἐπιφάνειαν εἶναι καὶ τοῦτο διχῶς ἢ ἀνωτέρω τοῦ κύκλου ἢ κατωτέρω, ποτὲ δὲ ἐπὶ τῆς κατὰ κορυφὴν αὐτῇ ἐπικειμένης. τοῦτο δὲ τὸ θεώρημα προέθετο ζητῆσαι, ὅτι οὐκ ἐπὶ πάντα δύο σημεῖα ἐπὶ τῆς ἐπιφανείας λαμβανόμενα ἐπιζευγνυμένη εὐθεῖα ἐπὶ τῆς ἐπιφανείας ἐστίν, ἀλλ' ἡ νεύουσα μόνον ἐπὶ τὴν κορυφήν, διὰ τὸ καὶ ὑπὸ εὐθείας τὸ πέρας ἐχούσης μένον γεγενῆσθαι τὴν κωνικὴν ἐπιφάνειαν. ὅτι δὲ τοῦτο ἀληθές, τὸ δεύτερον θεώρημα δηλοῖ.

Εἰς τὸ β'.

Τὸ δεύτερον θεώρημα τρεῖς ἔχει πτώσεις διὰ τὸ τὰ λαμβανόμενα σημεῖα τὰ Δ, E ἢ ἐπὶ τῆς κατὰ κο-

1. τέμνουσιν W. 2. διάμετροι] -οι corr. ex ου W. Post ὀρθάς add. οὐ Wp, corr. Comm. 11. πολλάς] πολλά Wp, corr. Comm. 13. εἰσόμεθα] θ in ras. m. 1 W. 14. τὸ τό] scripsi, τό Wp. λαμβαννόμενον W. 15. τουτέστιν W.

quales secat et ad angulos rectos, axis rectus uocatur, et si *AB*, *ΠP* altera alteri parallelas rectas in binas partes aequales secant, coniugatae diametri, sin et in binas partes aequales et ad angulos rectos secant, axes coniugati nominantur.

In prop. I.

De figuris siue casibus uariis propositionum hoc sciendum est, casum esse, ubi ea, quae in propositione data sint, positione sint data; nam uaria eorum coniunctio eadem conclusione casum efficit. et similiter etiam uariata constructione casus efficitur. quamquam autem multos habent propositiones, omnibus eadem demonstratio iisdemque litteris congruit praeter minora quaedam, ut mox adparebit; nam statim prima propositio tres casus habet, quia punctum in superficie sumptum, hoc est *B*, tum in superficie inferiore est, et hoc ipsum duobus modis aut supra circulum aut infra, tum in superficie ei ad uerticem posita. haec uero propositio quaerendum proposuit, non ad quaelibet duo puncta in superficie posita ductam rectam in superficie esse, sed eam tantum, quae per uerticem cadat, quia superficies conica per rectam terminum habentem manentem orta est. hoc autem uerum esse, propositio secunda ostendit.

Ad prop. II.

Propositio secunda tres habet casus, quia puncta sumpta *Δ*, *E* aut in superficie ad uerticem posita aut

18. *αὐτῇ*] scripsi, *αὐτῆς* Wp. 21. *ἡ νεύουσα*] scripsi, *ηv ευθυσαν* W, *ἓν εὐθεῖα* p. 23. *μένον*] *μέσον* Wp, corr. Comm. 27. *-τὰ κο-* in ras. m. 1 W.

ρυφὴν εἶναι ἐπιφανείας ἢ ἐπὶ τῆς κάτω διχῶς ἢ ἐσωτέρω τοῦ κύκλου ἢ ἐξωτέρω. δεῖ δὲ ἐφιστάνειν, ὅτι τοῦτο τὸ θεώρημα εὑρίσκεται ἔν τισιν ἀντιγράφοις ὅλον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεδειγμένον.

Εἰς τὸ γ'.

Τὸ γ' θεώρημα πτῶσιν οὐκ ἔχει. δεῖ δὲ ἐν αὐτῷ ἐπιστῆσαι, ὅτι ἡ *ΑΒ* εὐθεῖά ἐστι διὰ τὸ κοινὴ τομὴ εἶναι τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς ἐπιφανείας τοῦ κώνου, ἥτις ὑπὸ εὐθείας ἐγράφη τὸ πέρας ἐχούσης μένον πρὸς τῇ κορυφῇ τῆς ἐπιφανείας. οὐ γὰρ πᾶσα ἐπιφάνεια ὑπὸ ἐπιπέδου τεμνομένη τὴν τομὴν ποιεῖ εὐθεῖαν, οὐδὲ αὐτὸς ὁ κῶνος, εἰ μὴ διὰ τῆς κορυφῆς ἔλθῃ τὸ τέμνον ἐπίπεδον.

Εἰς τὸ δ'.

Αἱ πτώσεις τούτου τοῦ θεωρήματος τρεῖς εἰσιν ὥσπερ καὶ τοῦ πρώτου καὶ δευτέρου.

Εἰς τὸ ε'.

Τὸ πέμπτον θεώρημα πτῶσιν οὐκ ἔχει. ἀρχόμενος δὲ τῆς ἐκθέσεώς φησιν· τ ε τ μ ή σ θ ω ὁ κ ῶ ν ο ς ἐ π ι π έ δ ῳ δ ι ὰ τ ο ῦ ἄ ξ ο ν ο ς ὀ ρ θ ῷ π ρ ὸ ς τ ὴ ν β ά σ ι ν. ἐπειδὴ δὲ ἐν τῷ σκαληνῷ κώνῳ κατὰ μίαν μόνον θέσιν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὴν βάσιν, τοῦτο ποιήσομεν οὕτως· λαβόντες τὸ κέντρον τῆς βάσεως ἀναστήσομεν ἀπ' αὐτοῦ τῷ ἐπιπέδῳ τῆς βάσεως πρὸς ὀρθὰς καὶ δι' αὐτῆς καὶ τοῦ ἄξονος ἐκβάλλοντες ἐπίπεδον ἕξομεν τὸ ζητούμενον· δέδεικται

---

7. δεῖ] e corr. p. Post δέ del. ἡ *ΑΒ* εὐθεῖά ἐστι p. 8. ἐστιν W. 17. καί (pr.)] αἱ p. 18. Εἰς τό] mg.

in inferiore sunt et quidem duobus modis, aut intra circulum aut extra. animaduertendum autem, hanc propositionem in nonnullis exemplaribus totam per reductionem in absurdum demonstratam inueniri.

Ad prop. III.

Propositio tertia casum non habet. in ea autem animaduertendum est, *AB* rectam esse, quia communis est sectio plani secantis et superficiei coni, quae a recta descripta est terminum ad uerticem superficiei manentem habente. neque enim omnis superficies plano secta sectionem efficit rectam, nec ipse conus, nisi planum secans per uerticem uenit.

Ad prop. IV.

Casus huius propositionis tres sunt ut etiam primae et secundae.

Ad prop. V.

Propositio quinta casum non habet. expositionem autem exordiens dicit [I p. 18, 4]: per axem secetur plano ad basim perpendiculari. quoniam autem in cono obliquo triangulus per axem positus in una sola positione ad basim perpendicularis est, hoc ita efficiemus: sumpto centro basis ab eo rectam ad planum basis perpendicularem erigemus et per eam axemque ducto plano habebimus, quod quaeritur; nam in XI. libro Elementorum Euclidis [XI, 18] demonstratum

---

m. 1 W. 21. ἄξονος] corr. ex ἄξωνος m. 1 W. 23. ἔστιν W. 24. οὕτως] οὕτω in extr. lin. W, οὕτω p.

γὰρ ἐν τῷ ια' τῆς Εὐκλείδου στοιχειώσεως, ὅτι, ἐὰν εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται. τὸν δὲ κῶνον σκαληνὸν ὑπέθετο, ἐπειδὴ ἐν τῷ ἰσοσκελεῖ τὸ παράλληλον τῇ βάσει ἐπίπεδον τῷ ὑπεναντίως ἠγμένῳ τὸ αὐτό ἐστιν.

ἔτι φησίν· τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ἀφαιροῦντι δὲ πρὸς τῇ κορυφῇ τρίγωνον ὅμοιον μὲν τῷ ΑΒΓ τριγώνῳ, ὑπεναντίως δὲ κείμενον. τοῦτο δὲ γίνεται οὕτως· ἔστω τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Η, καὶ συνεστάτω πρὸς τῇ ΑΗ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Η τῇ ὑπὸ ΑΓΒ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΗΚ· τὸ ΑΗΚ ἄρα τρίγωνον τῷ ΑΒΓ ὅμοιον μέν ἐστιν, ὑπεναντίως δὲ κείμενον. εἰλήφθω δὴ ἐπὶ τῆς ΗΚ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἀπο τοῦ Ζ τῷ τοῦ ΑΒΓ τριγώνου ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνεστάτω ἡ ΖΘ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ΗΚ, ΘΖ ἐπίπεδον. τοῦτο δὴ ὀρθόν ἐστι πρὸς τὸ ΑΒΓ τρίγωνον διὰ τὴν ΖΘ καὶ ποιοῦν τὸ προκείμενον.

ἐν τῷ συμπεράσματί φησιν, ὅτι διὰ τὴν ὁμοιότητα τῶν ΔΖΗ, ΕΖΚ τριγώνων ἴσον ἐστὶ τὸ ὑπὸ ΔΖΕ τῷ ὑπὸ ΗΖΚ. δυνατὸν δέ ἐστι τοῦτο δεῖξαι καὶ δίχα τῆς τῶν τριγώνων ὁμοιότητος λέγοντα, ὅτι, ἐπειδὴ

---

4. ἰσοσκελῆ W. 8. ὀρθάς] inter ρ et θ ras. W. 17. τοῦ (alt.)] om. Wp, corr. Halley. 20. δή] δέ Wp, corr. Halley cum Comm. ἐστιν W. τό] corr. ex τῷ m. 1 W. ΑΒΓ] in mg. transit m. 1 W. 23. ἐστίν W. 24. ἐστιν W. 25. ὁμοιώτητος, —τητος in ras. m. 1, W. ὅτι] p, comp. supra scr. m. 1 W.

est, si recta ad planum aliquod perpendicularis sit, etiam omnia plana, quae per eam ducantur, ad idem planum perpendicularia esse. obliquum uero conum supposuit, quia in recto planum basi parallelum idem est atque id, quod e contrario ducitur.

praeterea dicit [I p. 18, 6]: secetur autem etiam alio plano ad triangulum per axem positum perpendiculari, quod ad uerticem abscindat triangulum similem triangulo $AB\Gamma$, sed e contrario positum. hoc uero ita fit: sit $AB\Gamma$ triangulus per axem positus, et in AB sumatur punctum aliquod H, ad AH autem rectam et H punctum in ea positum angulo $A\Gamma B$ aequalis construatur $\angle AHK$ [Eucl. I, 23]; itaque triangulus AHK triangulo $AB\Gamma$ similis est, sed e contrario positus. iam in HK punctum aliquod sumatur Z, et a Z ad planum trianguli $AB\Gamma$ perpendicularis erigatur $Z\Theta$, ducaturque planum per HK, $Z\Theta$. hoc igitur propter $Z\Theta$ ad triangulum $AB\Gamma$ perpendiculare est et propositum efficit.



in conclusione dicit [I p. 18, 27 sq.], propter similitudinem triangulorum $\varDelta ZH$, EZK esse

$$\varDelta Z \times ZE = HZ \times ZK.$$

fieri autem potest, ut hoc etiam similitudine triangulorum non usi demonstremus ita ratiocinantes: quoniam uterque angulus AKH, $A\varDelta E$ angulo ad B posito

In fig. Z m. rec. W.

ἑκατέρα τῶν ὑπὸ AKH, $A\varDelta E$ γωνιῶν ἴση ἐστὶ τῇ πρὸς τῷ B, ἐν τῷ αὐτῷ τμήματί εἰσι τοῦ περιλαμβάνοντος κύκλου τὰ $\varDelta$, H, E, K σημεῖα. καὶ ἐπειδὴ ἐν κύκλῳ δύο εὐθεῖαι αἱ $\varDelta E$, HK τέμνουσιν ἀλλήλας κατὰ τὸ Z, τὸ ὑπὸ $\varDelta ZE$ ἴσον ἐστὶ τῷ ὑπὸ HZK.

ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ πᾶσαι αἱ ἀπὸ τῆς $H\Theta$ γραμμῆς ἐπὶ τὴν HK κάθετοι ἀγόμεναι ἴσον δύνανται τῷ ὑπὸ τῶν τμημάτων. κύκλος ἄρα ἐστὶν ἡ τομή, διάμετρος δὲ αὐτοῦ ἡ HK. καὶ δυνατὸν μέν ἐστιν ἐπιλογίσασθαι τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ὁ περὶ τὴν KH γραφόμενος κύκλος οὐχ ἥξει διὰ τοῦ Θ σημείου, ἔσται τὸ ὑπὸ τῶν KZ, ZH ἴσον ἤτοι τῷ ἀπὸ μείζονος τῆς $Z\Theta$ ἢ τῷ ἀπὸ ἐλάσσονος· ὅπερ οὐχ ὑπόκειται. δείξομεν δὲ αὐτὸ καὶ ἐπ᾽ εὐθείας.

ἔστω τις γραμμὴ ἡ $H\Theta$, καὶ ὑποτεινέτω αὐτὴν ἡ HK, εἰλήφθω δὲ καὶ ἐπὶ τῆς γραμμῆς τυχόντα σημεῖα τὰ Θ, O, καὶ ἀπ᾽ αὐτῶν ἐπὶ τὴν HK κάθετοι ἤχθωσαν αἱ ΘZ, $O\Pi$, καὶ ἔστω τὸ μὲν ἀπὸ $Z\Theta$ ἴσον τῷ ὑπὸ HZK, τὸ δὲ ἀπὸ $O\Pi$ τῷ ὑπὸ $H\Pi K$ ἴσον. λέγω, ὅτι κύκλος ἐστὶν ἡ $H\Theta OK$ γραμμή. τετμήσθω γὰρ ἡ HK δίχα κατὰ τὸ N, καὶ ἐπεζεύχθωσαν αἱ $N\Theta$, NO. ἐπεὶ οὖν εὐθεῖα ἡ HK τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ N, εἰς δὲ ἄνισα κατὰ τὸ Z, τὸ ὑπὸ HZK μετὰ τοῦ ἀπὸ NZ ἴσον ἐστὶ τῷ ἀπὸ NK. τὸ δὲ

---

1. $A\varDelta E$] E e corr. W. ἐστίν W. 2. B] Π Wp, corr. Comm. εἰσιν W. 5. ἐστίν W. 6. HZK] ZHK p et corr. ex ZEK m. 1 W; corr. Comm. 7. αἱ] addidi, om. Wp. 8. $H\Theta$] Θ e corr. p, $H\Theta K$ Halley cum Comm. 10. αὐτῷ? p. 11. ἐπιλοήσασθαι p (nisi forte γι ita scriptae, ut litterae H similes sint). 13. οὐ W. 14. τῷ] τό W. $Z\Theta$] ΘH p.

aequalis est, in eodem segmento circuli puncta Δ, H, E, K comprehendentis positi sunt. et quoniam in circulo duae rectae ΔE, HK inter se secant in Z, erit $\Delta Z \times ZE = HZ \times ZK$ [Eucl. III, 35].

iam similiter demonstrabimus, etiam omnes rectas a linea $H\Theta$ ad HK perpendiculares ductas quadratas aequales esse rectangulo partium. ergo sectio circulus est, cuius diametrus est HK [I p. 20, 3 sq.]. et fieri potest, ut hoc per reductionem ad absurdum intellegatur. si enim circulus circum KH descriptus per punctum Θ non ueniet, $KZ \times ZH$ aequale erit quadrato aut rectae maioris quam $Z\Theta$ aut minoris; quod contra hypothesim est. uerum idem directa uia demonstrabimus.

sit linea $H\Theta$, et sub ea subtendat HK, sumantur autem etiam in linea puncta aliqua Θ, O, et ab iis ad HK perpendiculares ducantur ΘZ, $O\Pi$, sitque $Z\Theta^2 = HZ \times ZK$, $O\Pi^2 = H\Pi \times \Pi K$. dico, lineam $H\Theta OK$ circulum esse.



nam HK in N in duas partes aequales secetur, ducanturque $N\Theta$, NO. quoniam igitur recta HK in N in partes aequales secta est, in Z autem in inaequales, erit

$$HZ \times ZK + NZ^2 = NK^2$$

[Eucl. II, 5]. supposuimus autem, esse $HZ \times ZK = \Theta Z^2$;

ἀπό] corr. ex ἄπω in scribendo W. 17. $H\Theta$] $H\Theta K$ Halley cum Comm. 18. τυχὸν τά W. 19. HK] EK Wp, corr. Halley cum Comm. 21. $H\Pi K$] Π corr. ex Θ p. 22. ἡ] insert. m. 1 p. $H\Theta OK$] e corr. m. 1 p; O supra scr. m. 1 W, post K ras. parua. 23. $N\Theta$] uel $H\Theta$ W, $H\Theta$ p. 26. ἐστίν W.

ὑπὸ HZK ἴσον ὑπόκειται τῷ ἀπὸ ΘZ· τὸ ἄρα ἀπὸ ΘZ μετὰ τοῦ ἀπὸ NZ ἴσον ἐστὶ τῷ ἀπὸ NK. ἴσα δέ ἐστι τὰ ἀπὸ ΘZ, ZN τῷ ἀπὸ $N\Theta$· ὀρθὴ γάρ ἐστιν ἡ πρὸς τῷ Z· τὸ ἄρα ἀπὸ $N\Theta$ ἴσον ἐστὶ τῷ ἀπὸ NK. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ ἀπὸ NO ἴσον ἐστὶ τῷ ἀπὸ NK. κύκλος ἄρα ἐστὶν ἡ $H\Theta K$ γραμμή, διάμετρος δὲ αὐτοῦ ἡ HK.

δυνατὸν δέ ἐστι τὰς ΔE, HK διαμέτρους ποτὲ μὲν ἴσας, ποτὲ δὲ ἀνίσους εἶναι, οὐδέποτε μέντοι δίχα τέμνουσιν ἀλλήλας. ἤχθω γὰρ διὰ τοῦ K τῇ $B\Gamma$ παράλληλος ἡ NK. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ BA τῆς $A\Gamma$, μείζων ἄρα καὶ ἡ NA τῆς AK. ὁμοίως δὲ καὶ ἡ KA τῆς AH διὰ τὴν ὑπεναντίαν τομήν. ὥστε ἡ τῇ AK ἀπὸ τῆς AN ἴση λαμβανομένη μεταξὺ πίπτει τῶν H, N σημείων. πιπτέτω ὡς ἡ $A\Xi$· ἡ ἄρα διὰ τοῦ Ξ τῇ $B\Gamma$ παράλληλος ἀγομένη τέμνει τὴν HK. τεμνέτω ὡς ἡ $\Xi O\Pi$. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΞA τῇ AK, ὡς δὲ ἡ ΞA πρὸς $A\Pi$, ἡ KA πρὸς AH διὰ τὴν ὁμοιότητα τῶν HKA, $\Xi A\Pi$ τριγώνων, ἡ AH τῇ $A\Pi$ ἐστιν ἴση καὶ λοιπὴ ἡ $H\Xi$ τῇ ΠK. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Ξ, K γωνίαι ἴσαι εἰσίν· ἑκατέρα γὰρ αὐτῶν ἴση ἐστὶ τῇ B· εἰσὶ δὲ καὶ αἱ πρὸς τῷ O ἴσαι· κατὰ κορυφὴν γάρ· ὅμοιον ἄρα ἐστὶ τὸ ΞHO τρίγωνον τῷ ΠOK τριγώνῳ. καὶ ἴση ἐστὶν ἡ $H\Xi$ τῇ ΠK· ὥστε καὶ ἡ ΞO τῇ OK καὶ ἡ HO τῇ $O\Pi$ καὶ

---

1. HZK] H supra scr. m. 1 W. 2. ἐστίν W. 3. ἐστιν W. $N\Theta$] Θ corr. in scribendo W. 4. ἐστίν W. 5. NO] $N\Theta$ p. ἐστίν W. 6. $H\Theta K$] $N\Theta K$ p. 8. ἐστιν W. 10. — mg. m. 1 W. 11. HK p. 12. NA] MA Wp, corr. Comm. 16. Ξ] corr. ex Z in scrib. W. 20. τῇ $A\Pi$] om. Wp, corr. Comm. ἡ $H\Xi$] p, ἡ Ξ W. 22. ἐστίν W. εἰσίν W. τῷ] p, τό W. 23. ἐστίν W. 25. HO] NO p.

itaque $\Theta Z^2 + NZ^2 = NK^2$. uerum $\Theta Z^2 + ZN^2 = N\Theta^2$ [Eucl. I, 47]; angulus enim ad Z positus rectus est; itaque $N\Theta^2 = NK^2$. iam eodem modo demonstrabimus, esse etiam $NO^2 = NK^2$. ergo linea $H\Theta K$ circulus est et HK eius diametrus.

fieri autem potest, ut diametri ΔE, HK tum aequales tum inaequales sint, sed numquam inter se in binas partes aequales secant. ducatur enim per K



rectae $B\Gamma$ parallela NK. quoniam igitur $BA > A\Gamma$, erit etiam $NA > AK$ [Eucl. VI, 2; V, 14]. et eadem ratione propter sectionem contrariam $KA > AH$. quare quae ab AN rectae AK aequalis aufertur, inter puncta H, N cadit. cadat ut $A\Xi$. itaque quae per Ξ rectae $B\Gamma$ parallela ducitur, rectam HK secat. secet ut $\Xi O\Pi$. et quoniam est $\Xi A = AK$, et propter similitudinem triangulorum HKA, $\Xi A\Pi$ est $\Xi A : A\Pi = KA : AH$ [Eucl. VI, 4], erit

$$AH = A\Pi \text{ [Eucl. V, 9]},$$

et quae relinquitur $H\Xi = \Pi K$. et quoniam anguli ad Ξ, K positi aequales sunt (nam uterque angulo B aequalis est), et etiam anguli ad O positi aequales [Eucl. I, 15] (nam ad uerticem sunt inter se), similes erunt trianguli ΞHO, ΠOK. et $H\Xi = \Pi K$; quare etiam $\Xi O = OK$, $HO = O\Pi$, $HK = \Xi\Pi$. et manifestum est, si inter N, Ξ punctum sumatur uelut P, et per P

In fig. O deest in W.

ὅλη ἡ HK τῇ $\Xi\Pi$. καὶ φανερόν, ὅτι, ἐὰν μεταξὺ τῶν N, Ξ ληφθῇ τι σημεῖον ὡς τὸ P, καὶ διὰ τοῦ P τῇ NK παράλληλος ἀχθῇ ἡ $P\Sigma$, μείζων ἔσται τῆς $\Xi\Pi$ καὶ δια τοῦτο καὶ τῆς HK, ἐὰν δὲ μεταξὺ τῶν H, Ξ ληφθῇ τι σημεῖον οἷον τὸ T, καὶ δι' αὐτοῦ παράλληλος ἀχθῇ ἡ $T\Upsilon$, ἐλάττων ἔσται τῆς $\Xi\Pi$ καὶ τῆς KH. καὶ ἐπεὶ ἡ ὑπὸ $\Xi\Pi K$ γωνία μείζων ἐστὶ τῆς ὑπὸ $\Delta\Xi\Pi$, ἴση δὲ ἡ ὑπὸ $O\Pi K$ τῇ ὑπὸ $OH\Xi$, μείζων ἄρα καὶ ἡ ὑπὸ $OH\Xi$ τῆς ὑπὸ $H\Xi O$. ἡ ΞO ἄρα τῆς OH μείζων καὶ διὰ τοῦτο καὶ ἡ KO τῆς $O\Pi$. ἐὰν δέ ποτε ἡ ἑτέρα αὐτῶν δίχα διαιρεθῇ, ἡ λοιπὴ εἰς ἄνισα τμηθήσεται.

Εἰς τὸ ϛ'.

Προσέχειν χρή, ὅτι οὐ μάτην πρόσκειται ἐν τῇ προτάσει τὸ δεῖν τὴν ἀγομένην εὐθεῖαν ἀπὸ τοῦ ἐν τῇ ἐπιφανείᾳ σημείου παράλληλον μιᾷ τινι τῶν ἐν τῇ βάσει εὐθειῶν πρὸς ὀρθὰς οὔσῃ πάντως τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἄγεσθαι παράλληλον· τούτου γὰρ μὴ ὄντος οὐ δυνατόν ἐστιν αὐτὴν δίχα τέμνεσθαι ὑπὸ τοῦ διὰ τοῦ ἄξονος τριγώνου· ὅπερ ἐστὶ φανερον ἐκ τῆς ἐν τῷ ῥητῷ καταγραφῆς. εἰ γὰρ ἡ MN, ἥτινι παράλληλός ἐστιν ἡ ΔZH, μὴ πρὸς ὀρθὰς εἴη τῇ $B\Gamma$, δῆλον, ὅτι οὐδὲ δίχα τέμνεται οὐδὲ ἡ $K\Lambda$. καὶ διὰ τῶν αὐτῶν λόγων συνάγεται, οτι ἐστίν, ὡς ἡ $K\Theta$ πρὸς $\Theta\Lambda$, οὕτως ἡ ΔZ πρὸς ZH· καὶ ἡ ΔH ἄρα εἰς ἄνισα τμηθήσεται κατὰ τὸ Z.

δυνατὸν δὲ κατωτέρω τοῦ κύκλου καὶ ἐπὶ τῆς κατὰ κορυφὴν ἐπιφανείας τὰ αὐτὰ δείκνυσθαι.

---

7. $\Xi\Pi K$] Π e corr. m. 1 W. ἐστίν W. 8. $O\Pi K$] O insert. m. 1 W. $OH\Xi$] $H\Xi$ p et Ξ in ras. m. 1 W;

rectae NK parallela ducatur $P\Sigma$, esse $P\Sigma > \Xi\Pi$ et ideo $P\Sigma > HK$, sin inter H, Ξ punctum sumatur uelut T, et per id parallela ducatur $T\Upsilon$, esse $T\Upsilon < \Xi\Pi$ et $T\Upsilon < KH$. et quoniam est

$$\angle \Xi\Pi K > \varDelta\Xi\Pi,$$

et $\angle O\Pi K = OH\Xi$, erit etiam $\angle OH\Xi > H\Xi O$. itaque $\Xi O > OH$ [Eucl. I, 19] et ideo etiam $KO > O\Pi$. et si quando altera diametrorum in duas partes aequales diuisa erit, reliqua in partes inaequales secabitur.

Ad prop. VI.

Animaduertere oportet, non sine causa in propositione adiici [I p. 20, 12 sq.], rectam a puncto in superficie posito parallelam ductam rectae alicui in basi positae omnino rectae ad basim trianguli per axem positi perpendiculari parallelam duci oportere; nam si hoc non ita est, fieri non potest, ut a triangulo per axem posito in duas partes aequales secetur; quod in figura in uerbis Apollonii posita adparet. nam si MN, cui parallela est $\varDelta ZH$, ad rectam $B\Gamma$ perpendicularis non est, adparet, ne $K\varLambda$ quidem in duas partes aequales secari. et eadem ratione concludimus, esse $K\Theta : \Theta\varLambda = \varDelta Z : ZH$ [I p. 22, 20 sq.]. ergo etiam $\varDelta H$ in Z in partes inaequales secabitur.

fieri autem potest, ut et infra circulum et in superficie ad uerticem posita idem demonstretur.

---

corr. Comm. 9. $H\Xi O$] $N\Xi O$ p. 10. KO] ΞO Halley cum Comm. 15. ἐν] ε̄ Wp. 20. ἐστίν W. 28. δεῖ- e corr. p.

Εἰς τὸ ζʹ.

Τὸ ζʹ θεώρημα πτώσεις ἔχει τέσσαρας· ἢ γὰρ οὐ συμβάλλει ἡ ΖΗ τῇ ΑΓ ἢ συμβάλλει τριχῶς ἢ ἐκτὸς τοῦ κύκλου ἢ ἐντὸς ἢ ἐπὶ τοῦ Γ σημείου.

Μετὰ τὸ ιʹ.

Χρὴ ἐπιστῆσαι, ὅτι τὰ ῑ ταῦτα θεωρήματα ἀλλήλων ἔχονται. ἀλλὰ τὸ πρῶτον ἔχει, ὅτι αἱ ἐν τῇ ἐπιφανείᾳ εὐθεῖαι νεύουσαι ἐπὶ τὴν κορυφὴν ἐν ταύτῃ μένουσιν, τὸ δὲ δεύτερον τὸ ἀνάπαλιν, τὸ δὲ τρίτον ἔχει τὴν διὰ τῆς κορυφῆς τοῦ κώνου τομήν, τὸ δὲ τέταρτον τὴν παράλληλον τῇ βάσει, τὸ πέμπτον τὴν ὑπεναντίαν, τὸ ἕκτον ὡσανεὶ προλαμβάνεται τοῦ ἑβδόμου δεικνύον, ὅτι καὶ πρὸς ὀρθὰς ὀφείλει πάντως εἶναι τῇ διαμέτρῳ τοῦ κύκλου ἡ κοινὴ τομὴ αὐτοῦ καὶ τοῦ τέμνοντος ἐπιπέδου, καὶ ὅτι τούτου οὕτως ἔχοντος αἱ παράλληλοι αὐτῇ διχοτομοῦνται ὑπὸ τοῦ τριγώνου, τὸ δὲ ἕβδομον τὰς ἄλλας τρεῖς τομὰς ἔδειξε καὶ τὴν διάμετρον καὶ τὰς ἐπ' αὐτὴν καταγομένας παραλλήλους τῇ ἐν τῇ βάσει εὐθείᾳ. ἐν δὲ τῷ ὀγδόῳ δείκνυσιν, ὅπερ ἐν τοῖς προλεγομένοις εἴπομεν, ὅτι ἡ παραβολὴ καὶ ἡ ὑπερβολὴ τῶν εἰς ἄπειρόν εἰσιν αὐξομένων, ἐν δὲ τῷ ἐνάτῳ, ὅτι ἡ ἔλλειψις συννεύουσα εἰς ἑαυτὴν ὁμοίως τῷ κύκλῳ διὰ τὸ τὸ τέμνον ἐπίπεδον συμπίπτειν ἀμφοτέραις ταῖς πλευραῖς τοῦ τριγώνου οὐκ ἔστι κύκλος· κύκλους γὰρ ἐποίουν ἥ τε ὑπεναντία τομὴ καὶ ἡ παράλληλος· καὶ δεῖ ἐπιστῆσαι, ὅτι ἡ διάμετρος τῆς τομῆς ἐπὶ μὲν τῆς παραβολῆς

---

2. *τέσσαρας*] corr. ex *τέσσαρες* m. 2 W. 4. *Γ*] *τρίτον* Wp, corr. Comm. 7. *πρῶτον*] *αʹ* p et similiter saepius.

Ad prop. VII.

Propositio VII quattuor casus habet; nam *ZH* cum *AΓ* aut non concurrit aut concurrit et hoc quidem tribus modis, aut extra circulum aut intra aut in puncto *Γ*.

Post prop. X.

Animaduertendum, has X propositiones inter se coniunctas esse. prima autem continet, rectas in superficie positas, quae ad uerticem cadant, in ea manere, secunda contrarium; tertia uero sectionem per uerticem coni continet, quarta sectionem basi parallelam, quinta sectionem contrariam; sexta quasi lemma est septimae demonstrans, communem sectionem circuli planique secantis omnino ad diametrum perpendicularem esse oportere, et si hoc ita sit, rectas ei parallelas a triangulo in binas partes aequales secari; septima reliquas tres sectiones monstrauit et diametrum rectasque ad eam ductas rectae in basi positae parallelas. in octaua autem demonstrat, quod nos in prooemio [p. 176, 12 sq.] diximus, parabolam hyperbolamque earum linearum esse, quae in infinitum crescant; in nona autem ellipsim, quamquam in se recurrat sicut circulus, quia planum secans cum utroque latere trianguli concurrat, circulum non esse; circulos enim et sectio contraria et parallela efficiebant; et animad-

---

9. *τό* (alt.)] supra scr. m. 1 W. 12. *προσλαμβάνεται* W, et p, sed corr. m. 1. *ἑβδόμου*] *ἑβδόμου οὗ* W, *ζ' οὗ* p; corr. Comm. 13. *ὀφίλει* W. 14. *τομή*] corr. ex *τωμή* in scrib. W. 17. *ἔδειξεν* W. 23. *τὸ τό*] scripsi, *τό* W p. 25. *ἔστιν* W. 27. Œ mg. m. 1 W.

τὴν μίαν πλευρὰν τοῦ τριγώνου τέμνει καὶ τὴν βάσιν, ἐπὶ δὲ τῆς ὑπερβολῆς τήν τε πλευρὰν καὶ τὴν ἐπ' εὐθείας τῇ λοιπῇ πλευρᾷ ἐκβαλλομένην πρὸς τῇ κορυφῇ, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ ἑκατέραν τῶν πλευρῶν καὶ τὴν βάσιν. τὸ δὲ δέκατον ἁπλούστερον μέν τις ἐπιβάλλων ἴσως ἂν οἰηθείη ταὐτὸν εἶναι τῷ δευτέρῳ, τοῦτο μέντοι οὐχ ὡς ἔχει· ἐκεῖ μὲν γὰρ ἐπὶ πάσης τῆς ἐπιφανείας ἔλεγε λαμβάνεσθαι τὰ δύο σημεῖα, ἐνταῦθα δὲ ἐπὶ τῆς γενομένης γραμμῆς. ἐν δὲ τοῖς ἑξῆς τρισὶν ἀκριβέστερον ἑκάστην τῶν τομῶν τούτων διακρίνει μετὰ τοῦ λέγειν καὶ τὰ ἰδιώματα αὐτῶν τὰ ἀρχικά.

Εἰς τὸ ια'.

Πεποιήσθω, ὡς τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ὑπο $BA\Gamma$, οὕτως ἡ ΘZ πρὸς ZA· σαφὲς μέν ἐστι τὸ λεγόμενον, πλὴν εἴ τις καὶ ὑπομνησθῆναι βούλεται. ἔστω τῷ ὑπὸ $BA\Gamma$ ἴσον τὸ ὑπὸ $O\Pi P$, τῷ δὲ ἀπὸ $B\Gamma$ ἴσον παρὰ τὴν ΠP παραβληθὲν πλάτος ποιείτω τὴν $\Pi\Sigma$, καὶ γεγονέτω, ὡς ἡ $O\Pi$ πρὸς $\Pi\Sigma$, ἡ AZ πρὸς $Z\Theta$· γέγονεν ἄρα τὸ ζητούμενον. ἐπεὶ γάρ ἐστιν, ὡς ἡ $O\Pi$ πρὸς $\Pi\Sigma$, ἡ AZ πρὸς $Z\Theta$, ἀνάπαλιν ὡς ἡ $\Sigma\Pi$ πρὸς ΠO, ἡ ΘZ πρὸς ZA. ὡς δὲ ἡ $\Sigma\Pi$ πρὸς ΠO, τὸ ΣP πρὸς PO, τουτέστι τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ὑπὸ $BA\Gamma$. τοῦτο χρησιμεύει καὶ τοῖς ἑξῆς δύο θεωρήμασιν.

---

4. δέ] supra scr. p. 7. ἐπί] π e corr. m. 1 p. 8. ἔλεγε λαμ-] p W[1] (ἔλεγεν W[1]). 10. τοῖς ἑξῆς τρι-] p W[1]. 14. πεποιήσθω] p, η in ras. m. 2 W. 15. ἐστιν W. 17. τῷ (pr.)] corr. ex τό W[1]. 18. ΠP] Π e corr. m. 1 W. 19. $\Pi\Sigma$ (pr.)] Σ in ras. m. rec. W. $O\Pi$] O corr. ex Θ W. 21. $O\Pi$] O corr. ex Θ W. 22. $\Sigma\Pi$] Σ e corr. W. ΠO]

uertendum est, diametrum sectionis in parabola alterum latus trianguli basimque secare, in hyperbola autem et latus et rectam in altero latere ad uerticem uersus producto positam, in ellipsi autem et utrumque latus et basim. decimam uero, qui obiter intuitus erit, fortasse eandem ac secundam esse putauerit; sed minime ita est; illic enim duo puncta in tota superficie sumi posse dicebat, hic uero in linea orta. in tribus autem deinde sequentibus propositionibus unamquamque harum sectionum diligentius distinguit proprietates simul principales earum indicans.

Ad prop. XI.

Fiat $B\Gamma^2 : BA \times A\Gamma = \Theta Z : ZA$ [I p. 38, 24—25]: manifestum quidem, quod dicitur, nisi si quis admoneri uelit. sit



$$O\Pi \times \Pi P = BA \times A\Gamma,$$

et spatium quadrato $B\Gamma^2$ aequale ad ΠP adplicatum latitudinem efficiat $\Pi\Sigma$, fiatque $O\Pi : \Pi\Sigma = AZ : Z\Theta$; itaque effectum est, quod quaeritur. nam quoniam est $O\Pi : \Pi\Sigma = AZ : Z\Theta$, e contrario erit [Eucl. V, 7 coroll.]

$$\Sigma\Pi : \Pi O = \Theta Z : ZA.$$

est autem

$\Sigma\Pi : \Pi O = \Sigma P : PO$ [Eucl. VI, 1] $= B\Gamma^2 : BA \times A\Gamma$. hoc etiam in duabus, quae sequuntur, propositionibus [I p. 44, 11; 50, 6] utile est.

O e corr. W. $\Sigma\Pi$] Σ e corr. W. 23. PO] O e corr. W. τουτέστιν W. $B\Gamma$] B e corr. p.

Τὸ δὲ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ ΒΑΓ λόγον ἔχει τὸν συγκείμενον ἐκ τοῦ ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ ἡ ΒΓ πρὸς ΒΑ· δέδεικται μὲν ἐν τῷ ἕκτῳ βιβλίῳ τῆς στοιχειώσεως ἐν τῷ εἰκοστῷ τρίτῳ θεωρήματι, ὅτι τὰ ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ἐπεὶ δὲ ἐπακτικώτερον μᾶλλον καὶ οὐ κατὰ τὸν ἀναγκαῖον τρόπον ὑπὸ τῶν ὑπομνηματιστῶν ἐλέγετο, ἐζητήσαμεν αὐτὸ καὶ γέγραπται ἐν τοῖς ἐκδεδομένοις ἡμῖν εἰς τὸ τέταρτον θεώρημα τοῦ δευτέρου βιβλίου τῶν Ἀρχιμήδους περὶ σφαίρας καὶ κυλίνδρου καὶ ἐν τοῖς σχολίοις τοῦ πρώτου βιβλίου τῆς Πτολεμαίου συντάξεως· οὐ χεῖρον δὲ καὶ ἐνταῦθα τοῦτο γραφῆναι διὰ τὸ μὴ πάντως τοὺς ἀναγινώσκοντας κἀκείνοις ἐντυγχάνειν, καὶ ὅτι σχεδὸν τὸ ὅλον σύνταγμα τῶν κωνικῶν κέχρηται αὐτῷ.

λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ᾽ ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσί τινα, πηλικότητος δηλονότι λεγομένης τοῦ ἀριθμοῦ, οὗ παρώνυμός ἐστιν ὁ λόγος. ἐπὶ μὲν οὖν τῶν πολλαπλασίων δυνατόν ἐστιν ἀριθμὸν ὁλόκληρον εἶναι τὴν πηλικότητα, ἐπὶ δὲ τῶν λοιπῶν σχέσεων ἀνάγκη τὴν πηλικότητα ἀριθμὸν εἶναι καὶ μόριον ἢ μόρια, εἰ μὴ ἄρα τις ἐθέλοι καὶ ἀρρήτους εἶναι σχέσεις, οἷαί εἰσιν αἱ κατὰ τὰ ἄλογα μεγέθη. ἐπὶ πασῶν δὲ τῶν σχέσεων δῆλον, ὅτι αὐτὴ ἡ πηλικότης πολλαπλασιαζομένη ἐπὶ τὸν ἑπόμενον ὅρον τοῦ λόγου ποιεῖ τὸν ἡγούμενον.

ἔστω τοίνυν λόγος ὁ τοῦ Α πρὸς τὸν Β, καὶ εἰ-

---

2. ΒΓ] Γ e corr. m. 1 W. 3. ΓΑ — πρός] addidi; om. Wp (pro ΒΑ Halley scr. ΓΑ). 4. τῆς] τῇ W. ἐν] e corr. p. 5. ὅτι] pw, ὅτ seq. ras. 1 litt. W. 10. Ἀρχιμήδους] vw, Ἀρχι seq. ras. 5—6 litt. W et seq. lac. p. 13.

Et est

$$B\Gamma^2 : BA \times A\Gamma = (B\Gamma : \Gamma A) \times (B\Gamma : BA)$$

[I p. 40, 8—10]: in propositione XXIII sexti libri Elementorum demonstratum est, parallelogramma aequiangula inter se rationem ex rationibus laterum compositam habere; quoniam autem hoc per inductionem magis neque satis stricte a commentatoribus exponebatur, nos de ea re quaesiuimus et scriptum est in commentariis, quae edidimus ad quartam propositionem libri alterius Archimedis de sphaera et cylindro [Archimedis op. III p. 140 sq.] et in scholiis primi libri compositionis Ptolemaei; uerum satius esse duximus hic quoque idem exponere, quia non omnino iis, qui haec legent, illi quoque libri ad manum sunt, et quia totum paene opus conicorum eo utitur.

ratio ex rationibus composita esse dicitur, ubi rationum quantitates inter se multiplicatae rationem quandam efficiunt, quantitas autem is dicitur numerus, a quo ratio denominatur. in multiplis igitur fieri potest, ut quantitas sit totus aliquis numerus, in reliquis uero rationibus necesse est, quantitatem numerum esse cum parte uel partibus, nisi quis etiam irrationales rationes esse statuerit, quales sunt magnitudinum irrationalium. uerum in omnibus rationibus manifestum est, ipsam quantitatem in terminum sequentem proportionis multiplicatam praecedentem efficere.

sit igitur proportio $A : B$, et sumatur medius

γραφεῖναι W. 16—17. mg. W. 17. πολλαπλασθεῖσαι W. ποιῶσι] p, ωσιν post ras. 3 litt. W. 21. τήν] p, om. W.

λήφθω τις αὐτῶν μέσος, ὡς ἔτυχεν, ὁ Γ, καὶ ἔστω τοῦ Α, Γ λόγου πηλικότης ὁ Δ, τοῦ δὲ Γ, Β ὁ Ε, καὶ ὁ Δ τὸν Ε πολλαπλασιάσας τὸν Ζ ποιείτω. λέγω, ὅτι τοῦ λόγου τῶν Α, Β πηλικότης ἐστὶν ὁ Ζ, τουτέστιν ὅτι ὁ Ζ τὸν Β πολλαπλασιάσας τὸν Α ποιεῖ. ὁ δὴ Ζ τὸν Β πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Δ τὸν μὲν Ε πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, τὸν δὲ Γ πολλαπλασιάσας τὸν Α πεποίηκεν, ἔστιν ἄρα, ὡς ὁ Ε πρὸς τὸν Γ, ὁ Ζ πρὸς τὸν Α. πάλιν ἐπεὶ ὁ Β τὸν Ε πολλαπλασιάσας τὸν Γ πεποίηκεν, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Η πεποίηκεν, ἔστιν ἄρα, ὡς ὁ Ε πρὸς τὸν Ζ, ὁ Γ πρὸς τὸν Η. ἐναλλάξ, ὡς ὁ Ε πρὸς τὸν Γ, ὁ Ζ πρὸς τὸν Η. ἦν δέ, ὡς ὁ Ε πρὸς τὸν Γ, ὁ Ζ πρὸς τὸν Α· ἴσος ἄρα ὁ Η τῷ Α. ὥστε ὁ Ζ τὸν Β πολλαπλασιάσας τὸν Α πεποίηκεν.

μὴ ταραττέτω δὲ τοὺς ἐντυγχάνοντας τὸ διὰ τῶν ἀριθμητικῶν δεδεῖχθαι τοῦτο· οἵ τε γὰρ παλαιοὶ κέχρηνται ταῖς τοιαύταις ἀποδείξεσι μαθηματικαῖς μᾶλλον οὔσαις ἢ ἀριθμητικαῖς διὰ τὰς ἀναλογίας, καὶ ὅτι τὸ ζητούμενον ἀριθμητικόν ἐστιν. λόγοι γὰρ καὶ πηλικότητες λόγων καὶ πολλαπλασιασμοὶ τοῖς ἀριθμοῖς πρώτως ὑπάρχουσι καὶ δι' αὐτῶν τοῖς μεγέθεσι, κατὰ τὸν εἰπόντα· ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι εἶμεν ἀδελφά.

---

4. *τῶν*] corr. ex *τόν* in scrib. W 7. *πεποίηκε* p. 10. *πεποίηκε* p. 16. *πεποίηκε* p. Mg. *διότι τὸ Ζ πρὸς τὸ Δ καὶ Η λόγον τὸν αὐτὸν ἔχει τοῦ Ε πρὸς τὸ Γ, τὰ δὲ ἔχοντα πρὸς* [*τὸ αὐτὸ*] *τὸν αὐτὸν λόγον ἴσα* m. 1 W (*τὸ αὐτό* om., *ἴσα* comp. m. 2) et p (*τὸ αὐτό* om., add. mg. *ἔξω ἦν σχόλιον*). 18. *δεδεῖχθαι*] p, *δεδ* ras. 3 litt. *θαι* W, *δεδόσθαι* w. 19. *ἀποδείξεσιν* W. 20. *ὅτι*] fort. *αὐτό*. 23. *ὑπάρχουσιν* W.

eorum numerus aliquis Γ, sitque proportionis $A : \Gamma$ quantitas Δ, proportionis autem $\Gamma : B$ quantitas E,



et sit
$$\Delta \times E = Z.$$
dico, Z esse quantitatem proportionis $A : B$, h. e. esse
$$Z \times B = A.$$
sit igitur $Z \times B = H$. quoniam igitur est
$$\Delta \times E = Z,$$
$$\Delta \times \Gamma = A,$$
erit [Eucl. VII, 17] $E : \Gamma = Z : A$. rursus quoniam est $B \times E = \Gamma$, $B \times Z = H$, erit [ib.] $E : Z = \Gamma : H$. permutando $E : \Gamma = Z : H$. erat autem $E : \Gamma = Z : A$; quare $H = A$. ergo $Z \times B = A$.

ne offendat autem eos, qui legent, quod hoc arithmetice demonstratum est; nam et antiqui eius modi demonstrationibus usi sunt, quippe quae mathematicae potius quam arithmeticae sint propter proportiones, et quod quaeritur, arithmeticum esse constat. nam rationes quantitatesque rationum et multiplicationes proprie ad numeros pertinent et propter eos ad magnitudines, quod ipsum censuit, qui[1]) dixit: nam haec mathematica inter se cognata uidentur esse.

Vp in linea H habent numeros $\bar{\alpha}\hat{\beta}$ et inter H et Δ numerum $\bar{\gamma}$, sed scribendum ut supra (h. e. $1^1/_3 \times 3$). in Δ pro ω (²/₃) habent $\hat{\bar{o}}$.

1) Archytas Tarentinus; u. Nicomachus arithm. I, 3, 4.

Εἰς τὸ ιγ'.

Δεῖ σημειώσασθαι, ὅτι τοῦτο τὸ θεώρημα τρεῖς ἔχει καταγραφάς, ὡς καὶ πολλάκις εἴρηται ἐπὶ τῆς ἐλλείψεως· ἡ γὰρ ΔΕ ἢ ἀνωτέρω τοῦ Γ συμπίπτει τῇ ΑΓ ἢ κατ' αὐτοῦ τοῦ Γ ἢ ἐξωτέρω ἐκβαλλομένη τῇ ΑΓ συμπίπτει.

Εἰς τὸ ιδ'.

Δυνατὸν ἦν καὶ οὕτως δεῖξαι, ὅτι, ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως τὸ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ.

ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΒΓ τῇ ΞΟ, ἔστιν, ὡς ἡ ΓΣ πρὸς ΣΑ, ἡ ΞΤ πρὸς ΤΑ, καὶ διὰ τὰ αὐτά, ὡς ἡ ΑΣ πρὸς ΣΒ, ἡ ΑΤ πρὸς ΤΟ· δι' ἴσου ἄρα, ὡς ἡ ΓΣ πρὸς ΣΒ, ἡ ΞΤ πρὸς ΤΟ. καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΣ πρὸς τὸ ὑπὸ ΓΣΒ, τὸ ἀπὸ ΞΤ πρὸς τὸ ὑπὸ ΞΤΟ. ἔστι δὲ διὰ τὴν ὁμοιότητα τῶν τριγώνων, ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ἀπὸ ΣΓ, τὸ ἀπὸ ΑΤ πρὸς τὸ ἀπὸ ΞΤ· δι' ἴσου ἄρα, ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, τὸ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ.

καί ἐστιν, ὡς μὲν τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, ἡ ΘΕ πρὸς ΕΠ, ὡς δὲ τὸ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ, ἡ ΘΕ πρὸς ΘΡ· καὶ ὡς ἄρα ἡ ΘΕ πρὸς ΕΠ, ἡ ΕΘ πρὸς ΘΡ. ἴση ἄρα ἐστὶν ἡ ΕΠ τῇ ΘΡ.

πτῶσιν μὲν οὖν οὐκ ἔχει, φανερὸς δέ ἐστιν ὁ σκοπὸς συνεχὴς ὢν τοῖς πρὸ αὐτοῦ τρισίν· ὁμοίως γὰρ ἐκείνοις τὴν διάμετρον τῶν ἀντικειμένων ζητεῖ τὴν ἀρχικὴν καὶ τὰς παρ' ἃς δύνανται.

---

1. ιγ'] w, γ e corr. W, ι e corr. p. 4. ἐλλίψεως W. 8. ΑΣ] Α e corr. W. 9. οὔτω p. 10. ΞΤΟ] ΖΤ Wp, corr. Comm. 11. ΞΟ] ΖΟ Wp, corr. Comm. 13. ΤΟ] τὸν W,

Ad prop. XIII.

Animaduertendum, hanc propositionem tres figuras habere, ut iam saepe in ellipsi diximus; nam $\varDelta E$ aut supra $\varGamma$ cum $A\varGamma$ concurrit aut in ipso $\varGamma$ aut extra cum $A\varGamma$ producta concurrit.

Ad prop. XIV.

Poterat sic quoque demonstrari, esse
$A\Sigma^2 : B\Sigma \times \Sigma\varGamma = AT^2 : \varXi T \times TO$ [I p. 58, 2—3]:
nam quoniam $B\varGamma$ rectae $\varXi O$ parallela est, erit
$\varGamma\Sigma : \Sigma A = \varXi T : TA$ et eadem de causa

$$A\Sigma : \Sigma B = AT : TO$$ [cfr. I p. 56, 24—27].

ex aequo igitur $\varGamma\Sigma : \Sigma B = \varXi T : TO$. quare etiam $\varGamma\Sigma^2 : \varGamma\Sigma \times \Sigma B = \varXi T^2 : \varXi T \times TO$. uerum propter similitudinem triangulorum est [Eucl. VI, 4]

$$A\Sigma^2 : \Sigma\varGamma^2 = AT^2 : \varXi T^2;$$

itaque ex aequo $A\Sigma^2 : B\Sigma \times \Sigma\varGamma = AT^2 : \varXi T \times TO$.
est autem $A\Sigma^2 : B\Sigma \times \Sigma\varGamma = \varTheta E : E\varPi$ et

$$AT^2 : \varXi T \times TO = \varTheta E : \varTheta P.$$

quare etiam $\varTheta E : E\varPi = E\varTheta : \varTheta P$. ergo $E\varPi = \varTheta P$ [cfr. I p. 58, 3—7].

casum non habet, et propositum satis adparet, cum adfine sit tribus, quae antecedunt; nam eodem modo, quo illae, diametrum principalem oppositarum parametrosque quaerit.

τ'' p, corr. Comm. 14. TO] τὸ $\varGamma\Sigma$ W, τὸ $\Sigma\varGamma$ p, corr. Comm. 15. τὸ ἀπό (alt.)] in ras m. 1 W. 16. Post ὑπό rep. $T\Sigma B$ (B corr. ex Σ p) τὸ ἀπὸ $\varXi T$ πρὸς τὸ ὑπό Wp, corr. Comm. $\varXi TO$] $\varXi T$ Wp, corr. Comm. ἔστιν W. 21. $\varTheta E$] $\varTheta\Sigma$ Wp, corr. Comm. 22. $\varXi TO$, ἡ $\varTheta E$] $\varXi T$ ὁ $H\varTheta E$ Wp, corr. Comm. 23. $E\varTheta$] E e corr. m. 1 p. $E\varPi$] $\varTheta\varPi$ Wp, corr. Comm.

Εἰς τὸ ιϛʹ.

Ἴσον ἄρα τὸ ὑπὸ *ΒΚΑ* τῷ ὑπὸ *ΑΛΒ*· ἴση ἄρα ἐστὶν ἡ *ΚΑ* τῇ *ΒΑ*· ἐπεὶ γὰρ τὸ ὑπὸ *ΒΚΑ* τῷ ὑπὸ *ΑΛΒ* ἐστιν ἴσον, ἀνάλογον ἔσται, ὡς ἡ *ΚΒ* πρὸς *ΑΛ*, ἡ *ΛΒ* πρὸς *ΑΚ*. καὶ ἐναλλάξ, ὡς ἡ *ΚΒ* πρὸς *ΒΛ*, ἡ *ΛΑ* πρὸς *ΑΚ*· καὶ συνθέντι, ὡς ἡ *ΚΛ* πρὸς *ΛΒ*, ἡ *ΛΚ* πρὸς *ΚΑ*· ἴση ἄρα ἡ *ΚΑ* τῇ *ΒΛ*.

δεῖ ἐπιστῆσαι, ὅτι ἐν τῷ πεντεκαιδεκάτῳ καὶ ἑκκαιδεκάτῳ θεωρήματι σκοπὸν ἔσχε ζητῆσαι τὰς καλουμένας δευτέρας καὶ συζυγεῖς διαμέτρους τῆς ἐλλείψεως καὶ τῆς ὑπερβολῆς ἤτοι τῶν ἀντικειμένων· ἡ γὰρ παραβολὴ οὐκ ἔχει τοιαύτην διάμετρον. παρατηρητέον δέ, ὅτι αἱ μὲν τῆς ἐλλείψεως διάμετροι ἐντὸς ἀπολαμβάνονται, αἱ δὲ τῆς ὑπερβολῆς καὶ τῶν ἀντικειμένων ἐκτός. καταγράφοντας δὲ δεῖ τὰς μὲν παρ᾽ ἃς δύνανται ἤτοι τὰς ὀρθίας πλευρὰς πρὸς ὀρθὰς τάττειν καὶ δηλονότι καὶ τὰς παραλλήλους αὐταῖς, τὰς δὲ τεταγμένως καταγομένας καὶ τὰς δευτέρας διαμέτρους οὐ πάντως· μάλιστα γὰρ ἐν ὀξείᾳ γωνίᾳ δεῖ κατάγειν αὐτάς, ἵνα σαφεῖς ὦσιν τοῖς ἐντυγχάνουσιν ἕτεραι οὖσαι τῶν παραλλήλων τῇ ὀρθίᾳ πλευρᾷ.

Μετὰ τὸ ἑκκαιδέκατον θεώρημα ὅρους ἐκτίθεται περὶ τῆς καλουμένης δευτέρας διαμέτρου τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, οὓς διὰ καταγραφῆς σαφεῖς ποιήσομεν.

ἔστω ὑπερβολὴ ἡ *ΑΒ*, διάμετρος δὲ αὐτῆς ἔστω ἡ *ΓΒΔ*, παρ᾽ ἣν δὲ δύνανται αἱ ἐπὶ τὴν *ΒΓ* κατ-

---

7. *ΚΑ* (alt.)] *ΚΘ* W et p (*Θ* e corr. m. 1); corr. Comm. (ak). 8. ἐκκεδεκάτῳ W. 9. ἔσχεν W. 12. Mg. (н m. 1 W.

Ad prop. XVI.

Quare $BK \times KA = A\Lambda \times \Lambda B$; itaque est $KA = B\Lambda$ [I p. 66, 9—11]: quoniam enim

$$BK \times KA = A\Lambda \times \Lambda B,$$

erit $KB : A\Lambda = \Lambda B : AK$. et permutando

$$KB : B\Lambda = \Lambda A : AK;$$

et componendo $K\Lambda : \Lambda B = \Lambda K : KA$; ergo $KA = B\Lambda$.

animaduertendum, in quinta decima et sexta decima propositionibus ei propositum fuisse diametros alteras et coniugatas, quae uocantur, ellipsis hyperbolaeque siue oppositarum quaerere; parabola enim talem diametrum non habet. obseruandum autem, diametros ellipsis intus comprehendi, hyperbolae uero oppositarumque extra. in figuris autem describendis oportet parametros siue recta latera perpendiculares collocari et, ut per se intellegitur, etiam rectas iis parallelas, rectas autem ordinate ductas diametrosque alteras non semper; melius enim in angulo acuto ducuntur, ut iis, qui legent, statim adpareat, eas alias esse ac rectas lateri recto parallelas.

Post propositionem sextam decimam de diametro altera, quae uocatur, hyperbolae et ellipsis definitiones exponit [I p. 66, 16 sq.], quas per figuram explicabimus.

sit AB hyperbola, diametrus autem eius sit $\Gamma B\Delta$, BE autem parametrus diametri $B\Gamma$. adparet igitur,

---

13. ἐλλείψεως] corr. ex ἐλλήψεως m. 2 W. 18. δευτέρας] β' p. 21. ὀρθίᾳ] ὀρθείαι W. 24—25. -εῖς ποι- in ras. m. 1 W.

αγόμεναι ἡ *ΒΕ*. φανερὸν οὖν, ὅτι ἡ μὲν *ΒΓ* εἰς ἄπειρον αὔξεται διὰ τὴν τομήν, ὡς δέδεικται ἐν τῷ ὀγδόῳ θεωρήματι, ἡ δὲ *ΒΔ*, ἥτις ἐστὶν ἡ ὑποτείνουσα τὴν ἐκτὸς τοῦ διὰ τοῦ ἄξονος τριγώνου γωνίαν πεπέρασται. ταύτην δὴ διχοτομοῦντες κατὰ τὸ *Ζ* καὶ ἀγαγόντες ἀπὸ τοῦ *Α* τεταγμένως κατηγμένην τὴν *ΑΗ*, διὰ δὲ τοῦ *Ζ* τῇ *ΑΗ* παράλληλον τὴν *ΘΖΚ* καὶ ποιήσαντες τὴν *ΘΖ* τῇ *ΖΚ* ἴσην, ἔτι μέντοι καὶ τὸ ἀπὸ *ΘΚ* ἴσον τῷ ὑπὸ *ΔΒΕ*, ἕξομεν τὴν *ΘΚ* δευτέραν διάμετρον. τοῦτο γὰρ δυνατὸν διὰ τὸ τὴν *ΘΚ* ἐκτὸς οὖσαν τῆς τομῆς εἰς ἄπειρον ἐκβάλλεσθαι καὶ δυνατὸν εἶναι ἀπὸ τῆς ἀπείρου προτεθείσῃ εὐθείᾳ ἴσην ἀφελεῖν. τὸ δὲ *Ζ* κέντρον καλεῖ, τὴν δὲ *ΖΒ* καὶ τὰς ὁμοίως αὐτῇ ἀπὸ τοῦ *Ζ* πρὸς τὴν τομὴν φερομένας ἐκ τοῦ κέντρου.

ταῦτα μὲν ἐπὶ τῆς ὑπερβολῆς καὶ τῶν ἀντικειμένων· καὶ φανερόν, ὅτι πεπερασμένη ἐστὶν ἑκατέρα τῶν διαμέτρων, ἡ μὲν πρώτη αὐτόθεν ἐκ τῆς γενέσεως τῆς τομῆς, ἡ δὲ δευτέρα, διότι μέση ἀνάλογόν ἐστι πεπερασμένων εὐθειῶν τῆς τε πρώτης διαμέτρου καὶ τῆς παρ' ἣν δύνανται αἱ καταγόμεναι ἐπ' αὐτὴν τεταγμένως.

ἐπὶ δὲ τῆς ἐλλείψεως οὔπω δῆλον τὸ λεγόμενον. ἐπειδὴ γὰρ εἰς ἑαυτὴν συννεύει, καθάπερ ὁ κύκλος, καὶ ἐντὸς ἀπολαμβάνει πάσας τὰς διαμέτρους καὶ ὡρισμένας αὐτὰς ἀπεργάζεται· ὥστε οὐ πάντως ἐπὶ τῆς ἐλλείψεως ἡ μέση ἀνάλογον τῶν τοῦ εἴδους πλευρῶν καὶ διὰ τοῦ κέντρου τῆς τομῆς ἀγομένη καὶ ὑπὸ τῆς διαμέτρου διχοτομουμένη ὑπὸ τῆς τομῆς περατοῦται·

4. ἄξωνος W. 9. ὑπό] ἀπό p. 19. ἐστιν W. 23. οὔπω] οὕτω? 26. οὐ] del. Comm.

$B\Gamma$ propter sectionem in infinitum crescere, sicut in propositione octaua demonstratum est, $B\Delta$ autem, quae sub angulo exteriore trianguli per axem positi subtendat, terminatam esse. hac igitur in Z in duas partes aequales diuisa, ab A autem AH ordinate ducta et per Z rectae AH parallela ducta ΘZK et sumpta ΘZ rectae ZK aequali praetereaque sumpto



$$\Theta K^2 = \Delta B \times BE,$$

habebimus alteram diametrum ΘK. hoc enim fieri potest, quia ΘK, quae extra sectionem est, in infinitum produci potest, et quia ab infinita recta rectam datae aequalem abscindere possumus. Z autem centrum uocat et ZB easque, quae similiter a Z ad sectionem ducuntur, radios.

haec quidem in hyperbola oppositisque; et adparet, utramque diametrum terminatam esse, priorem statim ex origine sectionis, alteram autem, quod media sit proportionalis inter rectas terminatas, priorem scilicet diametrum et parametrum rectarum ad illam ordinate ductarum.

in ellipsi uero nondum constat propositum. quoniam enim sicut circulus in se recurrit, omnes diametros intra se comprehendit et determinat; quare in ellipsi media inter latera figurae proportionalis per centrum sectionis ducta et a diametro in duas partes aequales secta non semper a sectione determinatur. fieri autem *δυνατὸν δὲ αὐτὴν συλλογίζεσθαι δι' αὐτῶν τῶν εἰρημένων ἐν τῷ πεντεκαιδεκάτῳ θεωρήματι. ἐπεὶ γάρ, ὡς ἐκεῖ δέδεικται, αἱ ἐπὶ τὴν ΔΕ καταγόμεναι παράλληλοι τῇ ΑΒ δύνανται τὰ παρακείμενα παρὰ τὴν τρίτην αὐταῖς ἀνάλογον γινομένην, τουτέστι τὴν ΖΔ, ἔστιν, ὡς ἡ ΔΕ πρὸς τὴν ΑΒ, ἡ ΑΒ πρὸς ΔΖ· ὥστε μέση ἀνάλογόν ἐστιν ἡ ΑΒ τῶν ΕΔ, ΔΖ. καὶ διὰ τοῦτο καὶ αἱ καταγόμεναι ἐπὶ τὴν ΑΒ παράλληλοι τῇ ΔΕ δυνήσονται τὰ παρὰ τὴν τρίτην ἀνάλογον παρακείμενα τῶν ΔΕ, ΑΒ, τουτέστι τὴν ΑΝ. διὰ δὴ τοῦτο μέση ἀνάλογον γίνεται ἡ ΔΕ δευτέρα διάμετρος τῶν ΒΑ, ΑΝ τοῦ εἴδους πλευρῶν.*

δεῖ δὲ εἰδέναι καὶ τοῦτο διὰ τὸ εὔχρηστον τῶν καταγραφῶν· ἐπεὶ γὰρ ἄνισοί εἰσιν αἱ ΑΒ, ΔΕ διάμετροι· ἐν μόνῳ γὰρ τῷ κύκλῳ ἴσαι εἰσίν· δῆλον, ὅτι ἡ μὲν πρὸς ὀρθὰς ἀγομένη τῇ ἐλάσσονι αὐτῶν ὡς ἐνταῦθα ἡ ΔΖ ἅτε τρίτη ἀνάλογον οὖσα τῶν ΔΕ, ΑΒ μείζων ἐστὶν ἀμφοῖν, ἡ δὲ πρὸς ὀρθὰς ἀγομένη τῇ μείζονι ὡς ἐνταῦθα ἡ ΑΝ διὰ τὸ τρίτην ἀνάλογον εἶναι τῶν ΑΒ, ΔΕ ἐλάσσων ἐστὶν ἀμφοῖν· ὥστε καὶ συνεχῶς εἶναι τὰς τέσσαρας ἀνάλογον· ὡς γὰρ ἡ ΑΝ πρὸς ΔΕ, ἡ ΔΕ πρὸς ΑΒ καὶ ἡ ΑΒ πρὸς ΔΖ.



Εἰς τὸ ιζ'.

Ὁ μὲν Εὐκλείδης ἐν τῷ πεντεκαιδεκάτῳ θεωρήματι τοῦ τρίτου βιβλίου τῆς στοιχειώσεως ἔδειξεν, ὅτι ἡ

5. *τουτέστιν* W. *τήν*] *τῆι* W, *τῇ* p, corr. Halley. *ΖΔ*] *Δ* e corr. p. 8. *ΑΒ*] *Α* e corr. in scrib. W. 10. *τουτ-*

potest, ut per ea ipsa, quae in propositione quinta decima dicta sunt, computetur. nam quoniam, ut ibi demonstratum est, rectae ad ΔE rectae AB parallelae ductae quadratae aequales sunt spatiis ad tertiam earum proportionalem, hoc est ad $Z\Delta$, adplicatis, erit $\Delta E : AB = AB : \Delta Z$; quare AB inter $E\Delta$, ΔZ media est proportionalis. qua de causa etiam rectae ad AB rectae ΔE parallelae ductae quadratae aequales erunt spatiis ad tertiam rectarum ΔE, AB proportionalem, hoc est ad AN, adplicatis. qua de causa ΔE altera diametrus media est proportionalis inter BA, AN latera figurae.

sciendum autem hoc quoque, quod ad figuras describendas utile est; quoniam enim diametri AB, ΔE inaequales sunt (nam in solo circulo sunt aequales), manifestum est, rectam ad minorem earum perpendicularem ductam ut hic ΔZ, quippe quae tertia sit proportionalis rectarum ΔE, AB, maiorem esse utraque, rectam autem ad maiorem perpendicularem ductam ut hic AN, quippe quae tertia sit proportionalis rectarum AB, ΔE, minorem utraque [Eucl. V, 14]; quare etiam deinceps proportionales sunt quattuor illae rectae; nam $AN : \Delta E = \Delta E : AB = AB : \Delta Z$.

Ad prop. XVII.

Euclides in propositione quinta decima[1]) tertii libri Elementorum demonstrauit, rectam, quae ad

1) Est Elem. III, 16.

ἐστιν W. μέση] μέν Wp, corr. Comm. 20. τῶν] om. p. ΔE] Δ e corr. in scrib. W. 23. Post τρίτην del. εἶναι p. 26. AN] N e corr. p.

πρὸς ὀρθὰς ἀγομένη ἀπ' ἄκρας τῆς διαμέτρου ἐκτός τε πίπτει καὶ ἐφάπτεται τοῦ κύκλου, ὁ δὲ Ἀπολλώνιος ἐν τούτῳ καθολικόν τι δείκνυσι δυνάμενον ἐφαρμόσαι ταῖς τρισὶ τοῦ κώνου καὶ τῷ κύκλῳ.

τοσοῦτον διαφέρει ὁ κύκλος τῶν τοῦ κώνου τομῶν, ὅτι ἐπ' ἐκείνου μὲν αἱ τεταγμένως κατηγμέναι πρὸς ὀρθὰς ἄγονται τῇ διαμέτρῳ· οὐδὲ γὰρ ἄλλαι εὐθεῖαι παράλληλοι ἑαυταῖς ὑπὸ τῆς διαμέτρου τοῦ κύκλου διχοτομοῦνται· ἐπὶ δὲ τῶν τριῶν τομῶν οὐ πάντως πρὸς ὀρθὰς ἄγονται, εἰ μὴ ἐπὶ μόνους τοὺς ἄξονας.

Εἰς τὸ ιη'.

Ἔν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἐπὶ μόνης παραβολῆς καὶ ὑπερβολῆς ἐστιν, κάλλιον δὲ καθολικώτερον ἔχειν τὴν πρότασιν, εἰ μὴ ὅτι τὸ ἐπὶ τῆς ἐλλείψεως ἐκείνοις ὡς ἀναμφίβολον παραλέλειπται· ἡ γὰρ ΓΔ ἐντὸς οὖσα τῆς τομῆς πεπερασμένης οὔσης καὶ αὐτὴ κατ' ἀμφότερα τέμνει τὴν τομήν.

δεῖ δὲ ἐπιστῆσαι, ὅτι, κἂν ἡ AZB τέμνῃ τὴν τομήν, ἡ αὐτὴ ἀπόδειξις ἁρμόζει.

Εἰς τὸ κ'.

Ἀπὸ τούτου τοῦ θεωρήματος ἀρχόμενος ἐφεξῆς ἐν πᾶσι τὰ συμπτώματα τῆς παραβολῆς αὐτῇ δείκνυσιν ὑπάρχοντα καὶ οὐκ ἄλλῃ τινί, ὡς ἐπὶ τὸ πολὺ δὲ τῇ ὑπερβολῇ καὶ τῇ ἐλλείψει καὶ τῷ κύκλῳ τὰ αὐτὰ δείκνυσιν ὑπάρχοντα.

ἐπειδὴ δὲ οὐκ ἄχρηστον φαίνεται τοῖς τὰ μηχα-

---

3. δείκνυσι] scripsi praeeunte Comm., δεικνύς Wp. 4. ταῖς] fort. ταῖς τε. τρισίν W. κώνου] κώνου τομαῖς Halley

diametrum in termino perpendicularis erigatur, extra circulum cadere eumque contingere, Apollonius uero hic propositionem uniuersalem demonstrat, quae simul de tribus coni sectionibus et de circulo ualet.

hoc tantum circulus a sectionibus coni differt, quod in eo rectae ordinate ductae ad diametrum perpendiculares ducuntur; neque enim aliae rectae inter se parallelae a diametro circuli in binas partes aequales secantur; in tribus uero sectionibus non semper perpendiculares ducuntur, sed ad axes solos.

Ad prop. XVIII.

In nonnullis codicibus haec propositio in sola parabola hyperbolaque demonstratur, sed melius est, propositionem uniuersaliorem esse, nisi quod illi de ellipsi, quod ibi res dubia non sit, mentionem non fecerunt. nam $\Gamma\Delta$, quae intra sectionem terminatam posita est, per se sectionem ab utraque parte secat.

animaduertendum autem, eandem demonstrationem quadrare, etiam si AZB sectionem secet.

Ad prop. XX.

Ab hac propositione incipiens deinceps in omnibus proprietates parabolae ei soli adcidere demonstrat nec ulli alii, plerumque uero hyperbolae, ellipsi, circulo eadem adcidere demonstrat.

quoniam autem iis, qui mechanica scribunt, propter

---

praeeunte Comm. 6. ⳩ mg. m. 1 W. 13. τοῦτο] supra scr. m. 1 p. 14. ἐστι p. 15. μή] scripsi, καί Wp. τό] om. p in extr. lin. 16. ἀναμφίβολον] scripsi, ἀμφίβολον Wp, οὐκ ἀμφίβολον Halley cum Comm. 18. αὐτή] αὐ- e corr. in scrib. p. 19. τέμνῃ] e corr. p, τέμνει W. 23. πᾶσιν W. αὐτῇ] p, αὕτη W.

νικὰ γράφουσι διὰ τὴν ἀπορίαν τῶν ὀργάνων καὶ πολλάκις διὰ συνεχῶν σημείων γράφειν τὰς τοῦ κώνου τομὰς ἐν ἐπιπέδῳ, διὰ τούτου τοῦ θεωρήματος ἔστι πορίσασθαι συνεχῆ σημεῖα, δι' ὧν γραφήσεται ἡ παραβολὴ κανόνος παραθέσει. ἐὰν γὰρ ἐκθῶμαι εὐθεῖαν ὡς τὴν ΑΒ καὶ ἐπ' αὐτῆς λάβω συνεχῆ σημεῖα ὡς τὰ Ε, Ζ καὶ ἀπ' αὐτῶν πρὸς ὀρθὰς τῇ ΑΒ καὶ ποιήσω ὡς τὰς ΕΓ, ΖΔ λαβὼν ἐπὶ τῆς ΕΓ τυχὸν σημεῖον τὸ Γ, εἰ μὲν εὐρυτέραν βουληθείην ποιῆσαι παραβολήν, πόρρω τοῦ Ε, εἰ δὲ στενωτέραν, ἐγγύτερον, καὶ ποιήσω, ὡς τὴν ΑΕ πρὸς ΑΖ, τὸ ἀπὸ ΕΓ πρὸς τὸ ἀπὸ ΖΔ, τὰ Γ, Δ σημεῖα ἐπὶ τῆς τομῆς ἔσται. ὁμοίως δὲ καὶ ἄλλα ληψόμεθα, δι' ὧν γραφήσεται ἡ παραβολή.

Εἰς τὸ κα'.

Τὸ θεώρημα σαφῶς ἔκκειται καὶ πτῶσιν οὐκ ἔχει· δεῖ μέντοι ἐπιστῆσαι, ὅτι ἡ παρ' ἣν δύνανται, τουτέστιν ἡ ὀρθία πλευρά, ἐπὶ τοῦ κύκλου ἴση ἐστὶ τῇ διαμέτρῳ. εἰ γάρ ἐστιν, ὡς το ἀπὸ ΔΕ πρὸς τὸ ὑπὸ ΑΕΒ, ἡ ΓΑ πρὸς ΑΒ, ἴσον δὲ τὸ ἀπὸ ΔΕ τῷ ὑπὸ ΑΕΒ ἐπὶ τοῦ κύκλου μόνου, ἴση ἄρα καὶ ἡ ΓΑ τῇ ΑΒ.

δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι αἱ καταγόμεναι ἐν τῇ τοῦ κύκλου περιφερείᾳ πρὸς ὀρθάς εἰσι πάντως τῇ διαμέτρῳ καὶ ἐπ' εὐθείας γίνονται ταῖς παραλλήλοις τῇ ΑΓ.

διὰ δὲ τούτου τοῦ θεωρήματος τῷ αὐτῷ τρόπῳ τοῖς ἐπὶ τῆς παραβολῆς εἰρημένοις προσέχοντες γρά-

---

1. *γράφουσιν* W. *ἀπορίαν*] p, corr. ex *ἀπορείαν* m. 1 W. 4. *ἔστιν* W. 7. *τῇ*] *τήν* W p, corr. Comm. *καὶ ποιήσω*] fort. *δύο ἀναστήσω*. 8. ΖΔ] Ζ W p, corr. Comm. ΕΓ] ΕΤ W p,

penuriam instrumentorum non inutile uidetur interdum etiam per puncta continua coni sectiones in plano describere, per hanc propositionem fieri potest, ut continua puncta comparentur, per quae parabola describatur regula adposita. si enim rectam posuero ut AB [u. fig. I p. 73] in eaque puncta continua sumpsero ut E, Z et ab iis ad rectam AB perpendiculares erexero ut $E\Gamma$, $Z\Delta$ sumpto in $E\Gamma$ puncto aliquo Γ, si parabolam latiorem efficere uoluero, ab E remoto, sin angustiorem, propius, et fecero

$$E\Gamma^2 : Z\Delta^2 = AE : AZ,$$

puncta Γ, Δ in sectione erunt. et similiter alia quoque sumemus, per quae parabola describetur.

Ad prop. XXI.

Propositio satis clare exposita est nec casum habet; animaduertendum autem, parametrum siue latus rectum in circulo diametro aequalem esse. nam si

$$\Delta E^2 : AE \times EB = \Gamma A : AB$$

et in solo circulo $\Delta E^2 = AE \times EB$, erit etiam $\Gamma A = AB$.

sciendum autem hoc quoque, rectas in ambitu circuli ordinate ductas omnino perpendiculares esse ad diametrum et positas in productis rectis rectae $A\Gamma$ parallelis.

per hanc uero propositionem eadem ratione usi, quam in parabola commemorauimus [ad prop. XX],

---

corr. Comm. 10. E] A Wp, corr. Comm. 13. λψώμεθα W, sed corr. m. 1. 18. ἡ] addidi, om. Wp. ἐστίν W. 19. ἐστι p. 20. ἀπό] om. Wp, corr. Comm. 28. γράφομεν] fort. γράψομεν.

φομεν ὑπερβολὴν καὶ ἔλλειψιν κανόνος παραθέσει. ἐκκείσθω γὰρ εὐθεῖα ἡ ΑΒ καὶ προσεκβεβλήσθω ἐπ' ἄπειρον ἐπὶ τὸ Η, καὶ ἀπὸ τοῦ Α ταύτῃ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΓ, καὶ ἐπεζεύχθω ἡ ΒΓ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τινὰ σημεῖα ἐπὶ τῆς ΑΗ τὰ Ε, Η, καὶ ἀπὸ τῶν Ε, Η τῇ ΑΓ παράλληλοι ἤχθωσαν αἱ ΕΘ, ΗΚ, καὶ γινέσθω τῷ μὲν ὑπὸ ΑΗΚ ἴσον τὸ ἀπὸ ΖΗ, τῷ δ' ὑπὸ ΑΕΘ ἴσον τὸ ἀπὸ ΔΕ· διὰ γὰρ τῶν Α, Δ, Ζ ἥξει ἡ ὑπερβολή. ὁμοίως δὲ κατασκευάσομεν καὶ τὰ ἐπὶ τῆς ἐλλείψεως.

Εἰς τὸ κγ'.

Δεῖ ἐπιστῆσαι, ὅτι ἐν τῇ προτάσει δύο διαμέτρους λέγει οὐχ ἁπλῶς τὰς τυχούσας, ἀλλὰ τὰς καλουμένας συζυγεῖς, ὧν ἑκατέρα παρὰ τεταγμένως κατηγμένην ἦκται καὶ μέσον λόγον ἔχει τῶν τοῦ εἴδους πλευρῶν τῆς ἑτέρας διαμέτρου, καὶ διὰ τοῦτο δίχα τέμνουσι τὰς ἀλλήλων παραλλήλους, ὡς δέδεικται ἐν τῷ ιε' θεωρήματι. εἰ γὰρ μὴ οὕτως ληφθῇ, συμβήσεται τὴν μεταξὺ εὐθεῖαν τῶν δύο διαμέτρων τῇ ἑτέρᾳ αὐτῶν παράλληλον εἶναι· ὅπερ οὐχ ὑπόκειται.

ἐπειδὴ δὲ τὸ Η ἔγγιόν ἐστι τῆς διχοτομίας τῆς ΑΒ ἤπερ τὸ Θ, καί ἐστι τὸ μὲν ὑπο ΒΗΑ μετὰ τοῦ ἀπὸ ΗΜ ἴσον τῷ ἀπὸ ΑΜ, τὸ δὲ ὑπὸ ΑΘΒ μετὰ

---

1. ἔλλιψιν W. 5. Η] e corr. p. 6. Η] e corr. p. τῇ ΑΓ] mg. p. ΕΘ] corr. ex ΕΗ in scrib. W. 7. ΗΚ] ΝΚ p. τῷ] scripsi, τό Wp. τό] W, τῷ p. ἀπό] om. Wp, corr. Comm. 8. τῷ] scripsi, τό Wp. τό] W, τῷ p. 16. τέμνουσιν W. 17. ιε'] om. Wp, corr. Halley (δεκάτῳ πέμπτῳ). 18. οὕτω in extr. linea W, p. 21. δέ] om. p. ἔγγιον] ι corr. ex ει m. 2 W. ἐστιν W. 22. ΑΒ] Β e corr. p, ΑΜ W. ἐστιν W. ΒΗΑ] ΒΑΗ Wp, corr. Comm. 23. ΗΜ] ΗΒ p. ΑΜ] ΑΒ p.

hyperbolam ellipsimque regula adposita describimus. ponatur enim recta AB et in infinitum producatur



ad H, ab A autem ad eam perpendicularis ducatur $A\Gamma$, ducaturque $B\Gamma$ et producatur, in AH autem puncta aliqua sumantur E, H, et ab E, H rectae $A\Gamma$ parallelae ducantur $E\Theta$, HK, fiatque $ZH^2 = AH \times HK$, $\Delta E^2 = AE \times E\Theta$; tum enim hyperbola per A, Δ, Z ueniet. similiter autem etiam in ellipsi faciemus.

Ad prop. XXIII.

Animaduertendum, duas diametros, quas in propositione nominet, quaslibet duas non esse, sed coniugatas, quae uocentur, quarum utraque rectae ordinate ductae parallela ducta est et media proportionalis est inter latera figurae alterius diametri; quare altera alterius parallelas in binas partes aequales secat, ut in propositione XV demonstratum est. nam si ita non sumpserimus, fieri poterit, ut recta inter duas diametros posita alteri earum parallela sit; quod contra hypothesim est.

quoniam autem H puncto medio rectae AB propius est quam Θ, et

$$BH \times HA + HM^2 = AM^2 = A\Theta \times \Theta B + \Theta M^2$$

[Eucl. II, 5], uerum $\Theta M^2 > HM^2$, erit

$$BH \times HA > B\Theta \times \Theta A \text{ [I p. 78, 10—11].}$$

Figura corrupta est in W, imperfecta in p.

τοῦ ἀπὸ ΘM ἴσον τῷ αὐτῷ, το δὲ ἀπὸ ΘM τοῦ ἀπὸ HM μεῖζον, το ἄρα ὑπὸ $BH\varDelta$ μεῖζον τοῦ ὑπὸ $B\Theta\varDelta$.

Εἰς τὸ κε'.

Ἔν τισι φέρεται καὶ αὕτη ἡ ἀπόδειξις·

εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Θ, καὶ ἐπεζεύχθω ἡ $Z\Theta$· ἡ $Z\Theta$ ἄρα ἐκβαλλομένη συμπίπτει τῇ $\varDelta\Gamma$· ὥστε καὶ ἡ ZE. πάλιν δὴ εἰλήφθω, καὶ ἐπεζεύχθω ἡ KZ καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ τῇ $B\varDelta$ ἐκβαλλομένῃ· ὥστε καὶ ἡ ZH.

Εἰς τὸ κϛ'.

Τὸ θεώρημα τοῦτο πτώσεις ἔχει πλείους, πρῶτον μέν, ὅτι ἡ EZ ἢ ἐπὶ τὰ κυρτὰ μέρη τῆς τομῆς λαμβάνεται ὡς ἐνταῦθα ἢ ἐπὶ τα κοῖλα, ἔπειτα, ὅτι ἡ ἀπὸ τοῦ E παρὰ τεταγμένως κατηγμένην ἔσω μὲν καθ' ἓν σημεῖον συμβάλλει ἀδιαφόρως τῇ διαμέτρῳ ἀπείρῳ οὔσῃ, ἔξω δὲ οὖσα καὶ μάλιστα ἐπὶ τῆς ὑπερβολῆς ἔχει θέσιν ἢ ἐξωτέρω τοῦ B ἢ ἐπὶ τοῦ B ἢ μεταξὺ τῶν A, B.

Εἰς τὸ κζ'.

Ἔν τισιν ἀντιγράφοις τοῦ κζ' θεωρήματος φέρεται τοιαύτη ἀπόδειξις·

ἔστω παραβολή, ἧς διάμετρος ἡ AB, καὶ ταύτην τεμνέτω εὐθεῖά τις ἡ $H\varDelta$ ἐντὸς τῆς τομῆς. λέγω,

---

1. ΘM] ΘB p. ΘM] ΘB p. 2. HM e corr. p. 3. κε'] supra ε scr. β m. 1 p. 4. τισιν W. 7. $\varDelta\Gamma$] $\varDelta$ corr. ex Γ in scrib. W. 9. ἡ] scripsi, τῇ Wp. 10. κϛ'] ϛ e corr. m. 1 p. 12. ἢ] om. p. 14. τε-] in ras. ante ras. 2—3 litt. W. ἔσω] scripsi, ἕως Wp. 15. ἀδιαφόρως] scripsi, διαφόρως Wp. 17. θέσιν] comp. p, θέσει W. ἢ ἐπί — 18. μεταξύ] in ras. p. 19. Εἰς τὸ κζ'] καὶ τοῦτο

Ad prop. XXV.

In quibusdam codicibus haec quoque fertur demonstratio:

sumatur in sectione punctum aliquod Θ, ducaturque $Z\Theta$; $Z\Theta$ igitur producta cum $\Delta\Gamma$ concurrit [prop. XXIII]; quare etiam ZE. rursus punctum sumatur, ducaturque KZ et producatur; concurret igitur cum BA producta. quare etiam ZH.



Ad prop. XXVI.

Haec propositio complures habet casus, primum quod EZ aut ad partes conuexas sectionis sumitur sicut hic aut ad concauas, deinde quod recta ab E ordinate ducta intus quidem indifferenter in uno aliquo puncto cum diametro concurrit, quae infinita est, extra uero posita, maxime in hyperbola, aut extra B aut in ipso B aut inter A, B cadere potest.

Ad prop. XXVII.

In quibusdam codicibus haec fertur demonstratio propositionis XXVII:

sit parabola, cuius diametrus sit AB, secetque eam recta aliqua $H\Delta$ intra sectionem posita. dico,

---

Εὐτοκίου p. κζ'] κβ, β mut. in ε (euan.), W; corr. Comm. 20. φέρεται] φέρεται ἡ p, ερ euan. 22. παραβολῆς p. ἧς] om. p.

ὅτι ἡ ΗΔ ἐκβαλλομένη ἐφ' ἑκάτερα τὰ μέρη συμπεσεῖται τῇ τομῇ.

ἤχθω γάρ τις διὰ τοῦ Α παρατεταγμένως ἡ ΑΕ· ἡ ΑΕ ἄρα ἐκτὸς πεσεῖται τῆς τομῆς.

ἤτοι δὴ ἡ ΗΔ τῇ ΑΕ παράλληλός ἐστιν ἢ οὔ.

εἰ μὲν οὖν παράλληλός ἐστιν, αὐτὴ τεταγμένως κατῆκται· ὥστε ἐκβαλλομένη ἐφ' ἑκάτερα, ἐπεὶ δίχα τέμνεται ὑπὸ τῆς διαμέτρου, συμπεσεῖται τῇ τομῇ.

μὴ ἔστω δὴ παράλληλος τῇ ΑΕ, ἀλλὰ ἐκβαλλομένη συμπιπτέτω τῇ ΑΕ κατὰ τὸ Ε ὡς ἡ ΗΔΕ.

ὅτι μὲν οὖν τῇ τομῇ ἐπὶ τὰ ἕτερα μέρη συμπίπτει, ἐφ' ἃ ἐστι τὸ Ε, δῆλον· εἰ γὰρ τῇ ΑΕ συμβάλλει, πολὺ πρότερον τεμεῖ τὴν τομήν.

λέγω, ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπίπτει τῇ τομῇ.

ἔστω γὰρ παρ' ἣν δύνανται ἡ ΜΑ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας αὐτῇ ἡ ΑΖ· ἡ ΜΑ ἄρα τῇ ΑΒ πρὸς ὀρθάς ἐστιν. πεποιήσθω, ὡς τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΕΔ τρίγωνον, οὕτως ἡ ΜΑ πρὸς ΑΖ, καὶ διὰ τῶν Μ, Ζ τῇ ΑΒ παράλληλοι ἤχθωσαν αἱ ΖΚ, ΜΝ· τετραπλεύρου οὖν ὄντος τοῦ ΛΑΔΗ καὶ θέσει οὔσης τῆς ΛΑ ἤχθω τῇ ΛΑ παράλληλος ἡ ΓΚΒ ἀποτέμνουσα τὸ ΓΚΗ τρίγωνον τῷ ΛΑΔΗ τετραπλεύρῳ ἴσον, καὶ διὰ τοῦ Β τῇ ΖΑΜ παράλληλος ἤχθω ἡ ΞΒΝ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΕΔ τρίγωνον, ἡ ΜΑ πρὸς ΑΖ, ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΕΔ τρίγωνον, τὸ ἀπὸ ΓΒ πρὸς τὸ ΔΓΒ τρίγωνον· παράλληλος γάρ ἐστιν ἡ ΑΕ τῇ ΓΒ, καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΓΕ, ΑΒ· ὡς δὲ ἡ ΜΑ πρὸς

---

6. αὐτή] scripsi, αὕτη Wp. 9. μή] addidi, om. Wp; post δή add. Halley cum Comm. 13. πρότερον] corr. ex

rectam $H\Delta$ productam in utramque partem cum sectione concurrere.

ducatur enim per A ordinate recta AE; AE igitur extra sectionem cadet [I, 17].



aut igitur parallela erit $H\Delta$ rectae AE aut non erit.

si igitur parallela est, et ipsa ordinate ducta est; quare in utramque partem producta, quoniam a diametro in duas partes aequales secatur [I def. 5], cum sectione concurret [prop. XIX].

ne sit igitur rectae AE parallela, sed producta cum AE in E concurrat, ut $H\Delta E$.

hanc igitur in altera parte, in qua est E, cum sectione concurrere, manifestum est; nam siquidem cum AE concurrit, multo prius sectionem secabit.

dico, eam etiam ad alteram partem productam cum sectione concurrere.

sit enim MA parametrus, et in ea producta posita sit AZ; MA igitur ad AB perpendicularis est. fiat $MA : AZ = AE^2 : \triangle AE\Delta$, et per M, Z rectae AB parallelae ducantur ZK, MN; itaque cum $\Lambda A\Delta H$ quadrilaterum sit et ΛA positione data, ducatur rectae ΛA parallela ΓKB triangulum ΓKH abscindens quadrilatero $\Lambda A\Delta H$ aequalem, et per B rectae ZAM parallela ducatur ΞBN. et quoniam est

$$AE^2 : AE\Delta = MA : AZ,$$

uerum [Eucl. VI, 19] $AE^2 : AE\Delta = \Gamma B^2 : \Delta\Gamma B$; nam

---

πρώτερον in scrib. W. 14. μέρῃ W. 25. ὡς] om. Wp, corr. Comm. AE πρὸς τό] om. Wp, corr. Comm.

ΑΖ, τὸ ΑΜΝΒ παραλληλόγραμμον πρὸς τὸ ΑΞ παραλληλόγραμμον, ὡς ἄρα τὸ ἀπὸ ΓΒ πρὸς τὸ ΓΔΒ τρίγωνον, οὕτως τὸ ΑΜΝΒ παραλληλόγραμμον πρὸς τὸ ΑΖΞΒ παραλληλόγραμμον· ἐναλλάξ, ὡς τὸ ἀπὸ ΓΒ πρὸς τὸ ΑΜΝΒ παραλληλόγραμμον, οὕτως τὸ ΓΔΒ τρίγωνον πρὸς τὸ ΑΖΞΒ παραλληλόγραμμον. ἴσον δέ ἐστι τὸ ΖΑΒΞ παραλληλόγραμμον τῷ ΓΒΔ τριγώνῳ· ἐπεὶ γὰρ τὸ ΓΗΚ τρίγωνον τῷ ΑΛΗΔ τετραπλεύρῳ ἐστὶν ἴσον, κοινὸν δὲ τὸ ΗΔΒΚ τετράπλευρον, τὸ ΛΑΒΚ παραλληλόγραμμον τῷ ΓΔΒ τριγώνῳ ἐστὶν ἴσον· τὸ δὲ ΛΑΒΚ παραλληλόγραμμον τῷ ΖΑΒΞ παραλληλογράμμῳ ἐστὶν ἴσον· ἐπὶ γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς ΑΒ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΒ, ΖΚ. ἴσον ἄρα ἐστὶ τὸ ΓΔΒ τρίγωνον τῷ ΞΖΑΒ παραλληλογράμμῳ· ὥστε καὶ τὸ ἀπὸ ΓΒ τῷ ΑΜΝΒ παραλληλογράμμῳ ἐστὶν ἴσον. τὸ δὲ ΜΑΒΝ παραλληλόγραμμον ἴσον ἐστὶ τῷ ὑπὸ ΜΑΒ· ἡ γὰρ ΜΑ πρὸς ὀρθάς ἐστι τῇ ΑΒ· τὸ ἄρα ὑπὸ ΜΑΒ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΒ. καί ἐστιν ἡ ΜΑ ὀρθία τοῦ εἴδους πλευρά, ἡ δὲ ΑΒ διάμετρος, καὶ ἡ ΓΒ τεταγμένως· παράλληλος γάρ ἐστι τῇ ΑΕ· τὸ Γ ἄρα πρὸς τῇ τομῇ ἐστιν. ἡ ΔΗΓ ἄρα συμβάλλει τῇ τομῇ κατὰ τὸ Γ· ὅπερ ἔδει δεῖξαι.

σχόλια εἰς τὸ προτεθὲν θεώρημα.

πεποιήσθω δή, ὡς τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΕΔ τρίγωνον, ἡ ΜΑ πρὸς ΑΖ] τοῦτο δέδεικται ἐν σχολίῳ τοῦ ια΄ θεωρήματος. ἀναγράψας γὰρ τὸ ἀπο ΑΕ καὶ παρὰ τὴν πλευρὰν αὐτοῦ τῷ ΑΕΔ τριγώνῳ ἴσον παραβαλὼν ἕξω τὸ ζητούμενον.

3. οὕτω p. 4. Ante ἐναλλάξ ins. καί comp. W. 5. τό] τὸ ἀπό Wp, corr. Comm. οὕτω p. 6. ἐστι] comp. p,

$A E$, ΓB parallelae sunt, et ΓE, $A B$ eas iungunt; et [Eucl. VI, 1] $MA : AZ = AMNB : A\Xi$, erit

$$\Gamma B^2 : \Gamma \Delta B = AMNB : AZ\Xi B.$$

permutando $\Gamma B^2 : AMNB = \Gamma\Delta B : AZ\Xi B$. est autem $ZAB\Xi = \Gamma B\Delta$; quoniam enim $\Gamma HK = \Lambda\Lambda H\Delta$, commune autem quadrilaterum $H\Delta BK$, erit

$$\Lambda ABK = \Gamma\Delta B;$$

est autem $\Lambda ABK = ZAB\Xi$ [Eucl. I, 35]; nam in eadem basi AB et in iisdem parallelis AB, ZK posita sunt; ergo $\Gamma\Delta B = \Xi ZAB$. quare etiam $\Gamma B^2 = AMNB$. uerum $MABN = MA \times AB$; MA enim ad AB perpendicularis est; itaque $MA \times AB = \Gamma B^2$. et MA latus rectum est figurae, AB autem diametrus, et ΓB ordinate ducta; nam rectae AE parallela est; ergo punctum Γ ad sectionem positum est [prop. XI]. ergo $\Delta H\Gamma$ cum sectione in Γ concurrit; quod erat demonstrandum.

Ad propositionem propositam scholia.

Fiat igitur $MA : AZ = AE^2 : AE\Delta$ p. 238, 18—19] hoc in scholio propositionis XI demonstratum est [u. supra p. 216]. descripto enim quadrato AE^2 et ad latus eius spatio adplicato triangulo $AE\Delta$ aequali habebo, quod quaerimus.

ἐστιν W. 7. $ZAB\Xi$] e corr. p, mut. in ΞABZ m. rec. W. 8. $\Lambda\Lambda H\Delta$] Halley, $\Lambda\Lambda\Delta H$ Wp. 9. ΛABK] ΛAB Wp, corr. Comm. 11. παραλληλογράμμῳ] comp. p, παραλληλόγραμμον W. 12. ἐστιν W. AB] p, $A\Delta$ W. 13. ZK] p, ZH W. 14. ἐστίν W. 17. ἐστι] ἐστιν W. 18. ἐστίν W. 20. ἐστιν W. 24. τό (alt.)] τὸ ἀπό Wp, corr. Comm. 26. ια′] e corr. p. γάρ] om. p. 27. τῷ] p, τό W. 28. παραραβαλών W.

εἰς τὸ αὐτό.

τετραπλεύρου ὄντος τοῦ ΛΑΔΗ ἤχθω τῇ ΛΑ παράλληλος ἡ ΓΚΒ ἀποτέμνουσα τὸ ΓΗΚ τρίγωνον τῷ ΛΑΔΗ τετραπλεύρῳ ἴσον] τοῦτο δὲ ποιήσομεν οὕτως· ἐὰν γάρ, ὡς ἐν τοῖς στοιχείοις ἐμάθομεν, τῷ δοθέντι εὐθυγράμμῳ τῷ ΛΑΔΗ τετραπλεύρῳ ἴσον καὶ ἄλλῳ τῷ δοθέντι τῷ ΑΕΔ τριγώνῳ ὅμοιον τὸ αὐτὸ συστησώμεθα τὸ ΣΤΥ, ὥστε ὁμόλογον εἶναι τὴν ΣΥ τῇ ΑΔ, καὶ ἀπολάβωμεν τῇ μὲν ΣΥ ἴσην τὴν ΗΚ, τῇ δὲ ΤΥ ἴσην τὴν ΗΓ, καὶ ἐπιζεύξωμεν τὴν ΓΚ, ἔσται τὸ ζητούμενον. ἐπεὶ γὰρ ἡ πρὸς τῷ Υ γωνία ἴση ἐστὶ τῇ Δ, τουτέστι τῇ Η, διὰ τοῦτο ἴσον καὶ ὅμοιον τὸ ΓΗΚ τῷ ΣΤΥ. καὶ ἴση ἡ Γ γωνία τῇ Ε, καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΑΕ.

φανερὸν δή, ὅτι, ὅταν ἡ ΑΒ ἄξων ἐστίν, ἡ ΜΑ ἐφάπτεται τῆς τομῆς, ὅταν δὲ μὴ ἄξων, τέμνει, εἰ πρὸς ὀρθὰς ἄγεται πάντως τῇ διαμέτρῳ.

Εἰς τὸ κη'.

Ὅτι, κἂν ἡ ΓΔ τέμνῃ τὴν ὑπερβολήν, τὰ αὐτὰ συμβήσεται, ὥσπερ ἐπὶ τοῦ ὀκτωκαιδεκάτου.

Εἰς τὸ λ'.

Καὶ ὡς ἄρα ἐπὶ μὲν τῆς ἐλλείψεως συνθέντι, ἐπὶ δὲ τῶν ἀντικειμένων ἀνάπαλιν καὶ ανα-

---

5. στοιχείοις] w, στυχίοις e corr. W, σχολίοις p. 6. τῷ (pr.)] ἐν τῷ Wp, corr. Comm. 7. ΑΘΔ p. 8. τὸ αὐτό] τῷ αὐτῷ Wp, corr. Halley. συστησώμεθα] scripsi, συστησόμεθα Wp. 9. ΕΥ p. τῇ (alt.)] τήν Wp, corr. Comm. ΕΥ p. 10. τήν] τῇ Wp, corr. Comm. Post ΗΚ del. τὴν δὲ τυ

Ad eandem.

Cum $\Lambda A\Delta H$ quadrilaterum sit, ducatur rectae ΛA parallela ΓKB triangulum ΓHK abscindens quadrilatero $\Lambda A\Delta H$ aequalem p. 238, 21—24] hoc uero ita efficiemus. si enim, ut in Elementis [VI, 25] didicimus, datae figurae rectilineae, quadrilatero $\Lambda A\Delta H$, aequalem et alii figurae datae, triangulo $AE\Delta$, similem eandem figuram construxerimus $\Sigma T\Upsilon$, ita ut $\Sigma\Upsilon$ lateri $A\Delta$ respondeat, et posuerimus $HK = \Sigma\Upsilon$, $H\Gamma = T\Upsilon$, et duxerimus ΓK, effectum erit, quod quaerimus. quoniam enim $\angle \Upsilon = \Delta = H$, erit $\Gamma HK \cong \Sigma T\Upsilon$ [Eucl. I, 4]. et $\angle \Gamma = E$, et alterni sunt; itaque [Eucl. I, 27] ΓK, AE parallelae sunt.



manifestum igitur, si AB axis sit, rectam MA sectionem contingere, sin non axis, secare, si quidem semper ad diametrum perpendicularis ducitur.

Ad prop. XXVIII.

Etiamsi $\Gamma\Delta$ hyperbolam secat, eadem adcident, sicut in prop. XVIII [u. supra p. 230, 19].

Ad prop. XXX.

Quare etiam, in ellipsi componendo, in oppositis autem e contrario et conuertendo

ἴσην τὴν τῇ $\overline{\eta\kappa}$ p. τῇ] τήν Wp, corr. Halley. τήν] W, τῇ? p. 12. τῷ] p, corr. ex τό W ἐστίν W. τουτέστιν W. 14. Γ] $A\Gamma$ Wp, corr. Comm. 16. δή] δέ Halley cum Comm. 17. εἰ] scripsi, om. Wp. 23. ἐλλίψεως W.

στρέψαντι] ἐπὶ μὲν οὖν τῆς ἐλλείψεως ἐροῦμεν· ἐπειδή ἐστιν, ὡς τὸ ὑπὸ *ΑΖΒ* πρὸς τὸ ἀπὸ *ΔΖ*, τὸ ὑπὸ *ΑΗΒ* πρὸς τὸ ἀπὸ *ΗΕ*, ὡς δὲ τὸ ἀπὸ *ΔΖ* πρὸς τὸ ἀπὸ *ΖΓ*, τὸ ἀπὸ *ΕΗ* πρὸς τὸ ἀπὸ *ΗΓ*, δι' ἴσου, ὡς τὸ ὑπὸ *ΑΖΒ* πρὸς τὸ ἀπὸ *ΖΓ*, τὸ ὑπὸ *ΑΗΒ* πρὸς τὸ ἀπὸ *ΗΓ*· συνθέντι, ὡς τὸ ὑπὸ *ΑΖΒ* μετὰ τοῦ ἀπὸ *ΖΓ* πρὸς τὸ ἀπὸ *ΖΓ*, τουτέστι τὸ ἀπὸ *ΑΓ* πρὸς τὸ ἀπὸ *ΓΖ*· ἡ γὰρ *ΑΒ* τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ *Γ*, εἰς δὲ ἄνισα κατὰ τὸ *Ζ*· οὕτως τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ ἀπὸ *ΓΗ*· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ *ΑΓ* πρὸς τὸ ἀπὸ *ΓΒ*, τὸ ἀπὸ *ΖΓ* πρὸς τὸ ἀπὸ *ΓΗ*. ἐπὶ δὲ τῶν ἀντικειμένων· ἐπεί ἐστιν, ὡς τὸ ὑπὸ *ΒΖΑ* πρὸς τὸ ἀπὸ *ΖΓ*, τὸ ὑπὸ *ΑΗΒ* πρὸς τὸ ἀπὸ *ΓΗ*, διότι δι' ἴσου, ἀνάπαλιν, ὡς τὸ ἀπὸ *ΖΓ* πρὸς τὸ ὑπὸ *ΒΖΑ*, τὸ ἀπὸ *ΓΗ* πρὸς τὸ ὑπὸ *ΑΗΒ*· ἀναστρέψαντι, ὡς τὸ ἀπο *ΖΓ* πρὸς τὸ ἀπὸ *ΓΑ*, τὸ ἀπὸ *ΗΓ* πρὸς τὸ ἀπὸ *ΓΒ*· εὐθεῖα γάρ τις ἡ *ΑΒ* τέτμηται δίχα κατὰ τὸ *Γ*, καὶ πρόσκειται ἡ *ΖΑ*, καὶ τὸ ὑπὸ *ΒΖΑ* μετὰ τοῦ ἀπὸ *ΑΓ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΓΖ*, ὥστε τὸ ἀπὸ *ΓΖ* τοῦ ὑπὸ *ΒΖΑ* ὑπερέχει τῷ ἀπὸ *ΑΓ*, καὶ καλῶς εἴρηται τὸ ἀναστρέψαντι.

Εἰς τὸ λα'.

Διελόντι τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ ὑπὸ *ΑΗΒ* μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ ὑπὸ *ΑΘΒ*] ἐπεὶ γὰρ εὐθεῖα ἡ *ΑΒ* τέτμηται δίχα κατὰ τὸ *Γ*, καὶ πρόσκειται αὐτῇ ἡ *ΒΗ*, τὸ ὑπὸ *ΑΗΒ* μετὰ τοῦ ἀπὸ *ΓΒ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΓΗ*· ὥστε τὸ ἀπὸ *ΓΗ* τοῦ ὑπὸ *ΑΗΒ* ὑπερέχει τῷ ἀπὸ *ΓΒ*. διὰ δὲ τὴν

2. *ΖΔ* p. 3. Ante *ΔΖ* ras. 1 litt. p. 7. *ΖΓ* (pr.)] in ras. W. τουτέστιν W. 9. οὕτω p. 10. *ΑΓ* — 11.

I p. 92, 9—10] in ellipsi igitur dicemus: quoniam est

$$AZ \times ZB : \Delta Z^2 = AH \times HB : HE^2 \text{ [I p. 92, 2]}$$

et

$$\Delta Z^2 : Z\Gamma^2 = EH^2 : H\Gamma^2,$$

ex aequo erit

$$AZ \times ZB : Z\Gamma^2 = AH \times HB : H\Gamma^2.$$

componendo $AZ \times ZB + Z\Gamma^2 : Z\Gamma^2$ (h. e. $A\Gamma^2 : \Gamma Z^2$ [Eucl. II, 5]; nam AB in Γ in partes aequales, in Z autem in inaequales secta est) $= \Gamma B^2 : \Gamma H^2$; et permutando $A\Gamma^2 : \Gamma B^2 = Z\Gamma^2 : \Gamma H^2$. in oppositis uero ita: quoniam est $BZ \times ZA : Z\Gamma^2 = AH \times HB : \Gamma H^2$, quia ex aequo sunt, e contrario erit

$$Z\Gamma^2 : BZ \times ZA = \Gamma H^2 : AH \times HB.$$

conuertendo $Z\Gamma^2 : \Gamma A^2 = H\Gamma^2 : \Gamma B^2$; nam recta aliqua AB in Γ in duas partes aequales secta est, et adiecta est ZA, et $BZ \times ZA + A\Gamma^2 = \Gamma Z^2$ [Eucl. II, 6], quare $\Gamma Z^2 \div BZ \times ZA = A\Gamma^2$, et recte dictum est conuertendo.

Ad prop. XXXI.

Dirimendo $\Gamma B^2 : AH \times HB > \Gamma B^2 : A\Theta \times \Theta B$ I p. 94, 13—15] quoniam enim recta AB in Γ in duas partes aequales secta est, et ei adiecta est BH, erit [Eucl. II, 6] $AH \times HB + \Gamma B^2 = \Gamma H^2$; quare $\Gamma H^2 \div AH \times HB = \Gamma B^2$. eadem autem de causa

---

ἀπό (pr.)] om. W, lac. p; corr. Comm. 13. ἀπό (pr.)] om. W, lac. p; corr. Comm. 19. ἐστίν W. 26. AHB] AHK Wp, corr. Comm. 27. ἐστίν W.

αὐτὴν αἰτίαν καὶ τὸ ἀπὸ ΓΘ τοῦ ὑπὸ ΑΘΒ ὑπερέχει τῷ ἀπὸ ΓΒ· ὥστε ὀρθῶς εἴρηται τὸ διελόντι.

Εἰς τὸ λβ'.

Ἐν τῷ ἑπτακαιδεκάτῳ θεωρήματι ἁπλούστερον ἔδειξεν, ὅτι ἡ διὰ τῆς κορυφῆς παρὰ τὴν κατηγμένην τεταγμένως ἀγομένη ἐφάπτεται, ἐνταῦθα δὲ τὸ ἐν τοῖς στοιχείοις ἐπὶ τοῦ κύκλου μόνου δεδειγμένον καθολικώτερον ἐπὶ πάσης κώνου τομῆς ὑπάρχον ἐπιδείκνυσι.

δεῖ μέντοι ἐπιστῆσαι, ὅπερ κἀκεῖ ἐδείχθη, ὅτι καμπύλην μὲν ἴσως γραμμὴν οὐδὲν ἄτοπόν ἐστιν ἐμπίπτειν μεταξὺ τῆς εὐθείας καὶ τῆς τομῆς, εὐθεῖαν δὲ ἀμήχανον· τεμεῖ γὰρ αὕτη τὴν τομὴν καὶ οὐκ ἐφάψεται· δύο γὰρ ἐφαπτομένας εὐθείας κατὰ τοῦ αὐτοῦ σημείου εἶναι ἀδύνατον.

πολυτρόπως δεδειγμένου τούτου τοῦ θεωρήματος ἐν διαφόροις ἐκδόσεσιν ἡμεῖς τὴν ἀπόδειξιν ἁπλουστέραν καὶ σαφεστέραν ἐποιήσαμεν.

Εἰς τὸ λδ'.

Δεῖ ἐπιστῆσαι, ὅτι ἡ ΓΔ κατηγμένη ἐπὶ τὴν διάμετρον ἐπὶ μὲν τῆς ὑπερβολῆς τὰς ΔΒ, ΔΑ ὁρίζουσα τὴν ΒΑ καταλιμπάνει ὀφείλουσαν τμηθῆναι εἰς τὸν τῶν ΒΔΑ λόγον, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἀνάπαλιν τὴν ΒΑ τέμνουσα εἰς ὡρισμένον λόγον τὸν τῶν ΒΔΑ ἐπιζητεῖν ἡμᾶς ποιεῖ τὸν τῶν ΒΕ, ΕΑ· οὐδὲν γὰρ δυσχερὲς λόγου δοθέντος ἴσον αὐτῷ πορίσασθαι.

---

2. *τό*] *τῷ* W. 6. *τό*] om. p. *τοῖς*] comp. p, *τοῖ* W. 7. *μόνον* p. 9. (н mg. W. 10. *ἄτοπόν*] corr. ex *ἄτω-*

etiam $\Gamma\Theta^2 \div A\Theta \times \Theta B = \Gamma B^2$. ergo recte dictum est dirimendo.

Ad prop. XXXII.

In prop. XVII simplicius demonstrauit, rectam per uerticem rectae ordinate ductae parallelam ductam contingere, hic uero, quod in Elementis [III, 16] de solo circulo demonstratum est, uniuersalius de omni coni sectione ualere ostendit.

animaduertendum uero, quod ibi quoque [Eucl. III, 16] demonstratum est, fortasse fieri posse, ut curua linea inter rectam sectionemque cadat, ut recta autem sic cadat, fieri non posse; ea enim sectionem secabit, non continget; neque enim fieri potest, ut in eodem puncto duae rectae contingant.

cum haec propositio in uariis editionibus multis modis demonstraretur, nos demonstrationem simpliciorem et clariorem fecimus.

Ad prop. XXXIV.

Animaduertendum, rectam $\Gamma\Delta$ ad diametrum ordinate ductam in hyperbola rectas ΔB, ΔA determinantem rectam BA relinquere secundum rationem $B\Delta : \Delta A$ secandam, in ellipsi autem circuloque rursus rectam BA secundum rationem determinatam $B\Delta : \Delta A$ secantem nobis rationem $BE : EA$ quaerendam relinquere; neque enim difficile est, data ratione aliam aequalem parare.

πον W. 12. τέμει W. 16. ἀπόδειξιν] addidi, om. W p. 19. δεῖ] e corr. p. 24. τόν (pr.)] corr. ex τῶν p. ἐπιζητεῖν] corr. ex ἐπιζητῶν? p.

δεῖ μέντοι εἰδέναι, ὅτι καθ' ἑκάστην τομὴν καταγραφαί εἰσι δύο τοῦ Z σημείου ἢ ἐσωτέρω τοῦ $Γ$ λαμβανομένου ἢ ἐξωτέρω· ὥστε εἶναι τὰς πάσας πτώσεις ἕξ.

χρῆται δὲ καὶ δύο λήμμασιν, ἅπερ ἑξῆς γράφομεν.

μεῖζον ἄρα τὸ ὑπὸ $ΑΝΞ$ τοῦ ὑπὸ $ΑΟΞ$· ἡ $ΝΟ$ ἄρα πρὸς $ΞΟ$ μείζονα λόγον ἔχει ἤπερ ἡ $ΟΑ$ πρὸς $ΑΝ$] ἐπεὶ γὰρ τὸ ὑπὸ $ΑΝ$, $ΝΞ$ μεῖζόν ἐστι τοῦ ὑπὸ $ΑΟ$, $ΟΞ$, γινέσθω τῷ ὑπὸ $ΑΝ$, $ΝΞ$ ἴσον τὸ ὑπὸ τῆς $ΑΟ$ καὶ ἄλλης τινὸς τῆς $ΞΠ$, ἥτις μείζων ἔσται τῆς $ΞΟ$· ἔστιν ἄρα, ὡς ἡ $ΟΑ$ πρὸς $ΑΝ$, ἡ $ΝΞ$ πρὸς $ΞΠ$. ἡ δὲ $ΝΞ$ πρὸς $ΞΟ$ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν $ΞΠ$· καὶ ἡ $ΟΑ$ ἄρα πρὸς $ΑΝ$ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ $ΝΞ$ πρὸς $ΞΟ$.

φανερὸν δὴ καὶ τὸ ἀνάπαλιν, ὅτι, κἂν ἡ $ΝΞ$ πρὸς $ΞΟ$ μείζονα λόγον ἔχῃ ἤπερ ἡ $ΟΑ$ πρὸς $ΑΝ$, τὸ ὑπὸ $ΞΝ$, $ΝΑ$ μεῖζόν ἐστι τοῦ ὑπὸ $ΑΟ$, $ΟΞ$.

γινέσθω γάρ, ὡς ἡ $ΟΑ$ πρὸς $ΑΝ$, οὕτως ἡ $ΝΞ$ πρὸς μείζονα δηλονότι τῆς $ΞΟ$ ὡς τὴν $ΞΠ$· τὸ ἄρα ὑπὸ $ΞΝ$, $ΝΑ$ ἴσον ἐστὶ τῷ ὑπὸ $ΑΟ$, $ΞΠ$· ὥστε μεῖζόν ἐστι τὸ ὑπὸ $ΞΝ$, $ΝΑ$ τοῦ ὑπὸ $ΑΟ$, $ΟΞ$.

εἰς τὸ αὐτό.

ἀλλ' ὡς μὲν τὸ ὑπὸ $ΒΚ$, $ΑΝ$ πρὸς τὸ ἀπὸ $ΓΕ$, τὸ ὑπὸ $ΒΔΑ$ πρὸς τὸ ἀπὸ $ΕΔ$] ἐπεὶ οὖν διὰ

---

2. εἰσιν W. ἐσωτέρω] p, ἐσωτέρου W. 5. δύο] δυσί p. 6—8. ⸎ mg. W. 6. τό] τοῦ W, τ p, corr. Comm. $ΑΝΞ$] Comm., $ΑΗΞ$ Wp. τοῦ] τ seq. lac. 2 litt. p. 8. $ΟΑ$] corr. ex $ΘΑ$ W. τό] τοῦ Wp, corr. Comm. 9. ἐστιν W. τοῦ] τ seq. lac. p. 12. $ΞΟ$] corr. ex $ΞΘ$ W. 13. ἄρα] om. Wp, corr. Comm. 14. ἐλάττονα] μείζονα Wp, corr. Comm. 15. δή] e corr. p. 16. ἔχῃ] Halley, ἔχει Wp. 17. ἐστιν W.

sciendum autem, in singulis sèctionibus binas figuras esse, prout punctum Z intra Γ aut extra Γ sumatur; quare omnino sex sunt casus.

utitur autem duobus lemmatis, quae iam infra perscribemus.

quare $A N \times N \Xi > A O \times O \Xi$; itaque
$$N\Xi : \Xi O > OA : AN$$ I p. 102, 24—26]
quoniam enim $AN \times N\Xi > AO \times O\Xi$, fiat
$$AO \times \Xi\Pi = AN \times N\Xi,$$
$\Xi\Pi$ maiore sumpta quam ΞO; itaque
$$OA : AN = N\Xi : \Xi\Pi.$$
uerum $N\Xi : \Xi O > N\Xi : \Xi\Pi$ [Eucl. V, 8]; ergo etiam $OA : AN < N\Xi : \Xi O$.[1])



manifestum iam rursus, si
$$N\Xi : \Xi O > OA : AN,$$
esse $\Xi N \times NA > AO \times O\Xi$.

fiat enim $N\Xi : \Xi\Pi = OA : AN$, $\Xi\Pi$ sumpta maiore quam ΞO [Eucl. V, 8]. itaque $\Xi N \times NA = AO \times \Xi\Pi$. ergo $\Xi N \times NA > AO \times O\Xi$.

Ad eandem.

Est autem $BK \times AN : \Gamma E^2 = B\varDelta \times \varDelta A : E\varDelta^2$ I p. 104, 2—4] quoniam, quia AN, $E\Gamma$, KB parallelae

1) Cum coniectura Commandini lin. 14 parum sit probabilis, nec alia melior reperiri possit, crediderim, Eutocium ipsum errore μείζονα scripsisse.

In fig. pro O bis Θ W, om. p.

20. $\Xi\Pi$· ὥστε] scripsi; ξ̄ πῶς τέ Wp. 21. ἐστιν W. $O\Xi$] O e corr. W. 23. τὸ ἀπὸ ΓE] p, τὸν $\overline{αεγ}$ W. 24. οὖν] γάρ?

τὸ παραλλήλους εἶναι τὰς *ΑΝ*, *ΕΓ*, *ΚΒ* ἐστιν, ὡς ἡ *ΑΝ* πρὸς *ΕΓ*, ἡ *ΑΔ* πρὸς *ΔΕ*, ὡς δὲ ἡ *ΕΓ* πρὸς *ΚΒ*, ἡ *ΕΔ* πρὸς *ΔΒ*, δι᾽ ἴσου ἄρα, ὡς ἡ *ΑΝ* πρὸς *ΚΒ*, ἡ *ΑΔ* πρὸς *ΔΒ*· καὶ ὡς ἄρα τὸ ἀπὸ *ΑΝ* πρὸς τὸ ὑπὸ *ΑΝ*, *ΚΒ*, τὸ ἀπὸ *ΑΔ* πρὸς τὸ ὑπὸ *ΑΔΒ*. ὡς δὲ τὸ ἀπὸ *ΕΓ* πρὸς τὸ ἀπὸ *ΑΝ*, τὸ ἀπὸ *ΕΔ* πρὸς τὸ ἀπὸ *ΔΑ*· δι᾽ ἴσου ἄρα, ὡς τὸ ἀπὸ *ΕΓ* πρὸς τὸ ὑπὸ *ΑΝ*, *ΚΒ*, τὸ ἀπὸ *ΕΔ* πρὸς τὸ ὑπὸ *ΑΔΒ*· καὶ ἀνάπαλιν, ὡς τὸ ὑπὸ *ΚΒ*, *ΑΝ* πρὸς τὸ ἀπὸ *ΕΓ*, τὸ ὑπὸ *ΒΔΑ* πρὸς τὸ ἀπὸ *ΕΔ*.

Εἰς τὸ λζʹ.

Διὰ τούτων τῶν θεωρημάτων φανερόν, ὅπως ἐστὶ δυνατὸν διὰ τοῦ δοθέντος σημείου ἐπὶ τῆς διαμέτρου καὶ τῆς κορυφῆς τῆς τομῆς ἐφαπτομένην ἀγαγεῖν.

Εἰς τὸ ληʹ.

Ἔν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἐπὶ μόνης τῆς ὑπερβολῆς εὑρίσκεται δεδειγμένον, καθολικῶς δὲ ἐνταῦθα δέδεικται· τὰ γὰρ αὐτὰ συμβαίνει καὶ ἐπὶ τῶν ἄλλων τομῶν. καὶ τῷ Ἀπολλωνίῳ δὲ δοκεῖ μὴ μόνον τὴν ὑπερβολήν, ἀλλὰ καὶ τὴν ἔλλειψιν ἔχειν δευτέραν διάμετρον, ὡς πολλάκις αὐτοῦ ἠκούσαμεν ἐν τοῖς προλαβοῦσιν.

καὶ ἐπὶ μὲν τῆς ἐλλείψεως πτῶσιν οὐκ ἔχει, ἐπὶ δὲ τῆς ὑπερβολῆς τρεῖς· τὸ γὰρ *Ζ* σημεῖον, καθ᾽ ὃ συμβάλλει ἡ ἐφαπτομένη τῇ δευτέρᾳ διαμέτρῳ, ἢ κατω-

---

3. πρός (pr.)] bis p. 5. ὑπό (pr.)] ἀπό Wp, corr. Comm. *ΑΝ*] *ΑΗ*? p. Post πρός del. *ΔΒ* καὶ ὡς ἄρα τὸ ἀπὸ *ΑΝ* p. 8. ὑπό (alt.)] corr. ex ἀπό W. *ΑΔΒ*] *Α* e corr. W.

sunt, est $AN : E\Gamma = A\Delta : \Delta E$, $E\Gamma : KB = E\Delta : \Delta B$ [Eucl. I, 29; VI, 4], ex aequo erit $AN : KB = A\Delta : \Delta B$; quare $AN^2 : AN \times KB = A\Delta^2 : A\Delta \times \Delta B$. est autem [Eucl. VI, 4] $E\Gamma^2 : AN^2 = E\Delta^2 : \Delta A^2$; ex aequo igitur $E\Gamma^2 : AN \times KB = E\Delta^2 : A\Delta \times \Delta B$; et e contrario $KB \times AN : E\Gamma^2 = B\Delta \times \Delta A : E\Delta^2$.

Ad prop. XXXVII.

Per haec theoremata[1]) manifestum est, quo modo fieri possit, ut per datum punctum diametri[2]) et per uerticem[3]) sectionis recta contingens ducatur.

Ad prop. XXXVIII.

In nonnullis codicibus haec propositio de sola hyperbola demonstrata reperitur, hic autem uniuersaliter demonstrata est; nam eadem etiam in reliquis sectionibus adcidunt. et Apollonio quoque non modo hyperbola, sed etiam ellipsis alteram diametrum habere uidetur, sicut in praecedentibus saepius ab eo audiuimus.

et in ellipsi casum non habet, in hyperbola autem tres; nam punctum Z, in quo recta contingens cum altera diametro concurrit, aut infra Δ positum est aut in Δ aut supra Δ, et ea de causa Θ et ipsum tres habebit positiones,

1) Propp. XXXVII—VIII; cfr. I p. 118, 1 sq.

2) Per aequationem $ZH \times H\Theta = H\Gamma^2$, unde datis rectis ZH, $H\Gamma$ inueniri potest $H\Theta$ et ita E.

3) Per aequationem $H\Theta \times \Theta Z : \Theta E =$ latus rectum : transuersum, unde dato uertice E et ideo datis $E\Theta$ et $H\Theta$ inueniri potest ΘZ et punctum Z.

10. $B\Delta A$] A e corr. p. 17. εὐρί-] e corr. p. 25. κατωτέρωι W, ut saepius.

τέρω τοῦ Δ ἐστιν ἢ ἐπὶ τοῦ Δ ἢ ἀνωτέρω τοῦ Δ, καὶ διὰ τοῦτο τὸ Θ ὁμοίως αὐτῷ τρεῖς ἕξει τόπους, καὶ προσεκτέον, ὅτι, εἴτε κατωτέρω πέσῃ τὸ Z τοῦ Δ, καὶ τὸ Θ τοῦ Γ ἔσται κατωτέρω, εἴτε τὸ Z ἐπὶ τὸ Δ, καὶ τὸ Θ ἐπὶ τὸ Γ, εἴτε ἀνωτέρω τὸ Z τοῦ Δ, καὶ τὸ Θ τοῦ Γ ἔσται ἀνωτέρω.

Εἰς τὸ μα'.

Τὸ θεώρημα τοῦτο ἐπὶ μὲν τῆς ὑπερβολῆς πτῶσιν οὐκ ἔχει, ἐπὶ δὲ τῆς ἐλλείψεως, ἐὰν ἡ καταγομένη ἐπὶ τὸ κέντρον πίπτῃ, τὰ δὲ λοιπὰ γένηται τὰ αὐτά, τὸ ἀπὸ τῆς κατηγμένης εἶδος ἴσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει.

ἔστω γὰρ ἔλλειψις, ἧς διάμετρος ἡ AB, κέντρον τὸ Δ, καὶ κατήχθω τεταγμένως ἡ $\Gamma\Delta$, καὶ ἀναγεγράφθω ἀπό τε τῆς $\Gamma\Delta$ καὶ τῆς $A\Delta$ εἴδη ἰσογώνια τὰ AZ, ΔH, ἐχέτω δὲ ἡ $\Delta\Gamma$ πρὸς ΓH τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ $A\Delta$ πρὸς ΔZ καὶ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν.

λέγω, ὅτι τὸ AZ ἴσον ἐστὶ τῷ ΔH.

ἐπεὶ γὰρ ἐν τῷ ῥητῷ δέδεικται, ὡς τὸ ἀπὸ $A\Delta$ πρὸς τὸ AZ, οὕτως τὸ ὑπὸ $A\Delta B$ πρὸς τὸ ΔH, φημί, ὅτι καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ $A\Delta$ πρὸς τὸ ὑπὸ $A\Delta B$, οὕτως τὸ AZ πρὸς τὸ ΔH. ἴσον δὲ τὸ ἀπὸ $A\Delta$ τῷ ὑπὸ $A\Delta B$· ἴσον ἄρα καὶ τὸ AZ τῷ ΔH.

Εἰς τὸ μβ'.

Τὸ θεώρημα τοῦτο ἔχει πτώσεις $\overline{\iota\alpha}$, μίαν μέν, εἰ ἐσωτέρω λαμβάνοιτο τὸ Δ τοῦ Γ· δῆλον γάρ, ὅτι καὶ

---

6. ἀνωτέρω] corr. ex ἀνοτέρω W. 10. πίπτῃ, τά] in ras. W. 13. διάμετρος] corr. ex διάμετρον W, comp. p. κέντρον δέ Halley. 16. ΔH, AZ Comm. 18. ὅν] in

et animaduertendum est, siue Z infra Δ cadat, etiam Θ infra Γ positum esse, siue in Δ cadat Z, etiam Θ in Γ, siue Z supra Δ, etiam Θ supra Γ positum esse.[1])

Ad prop. XLI.

Haec propositio in hyperbola casum non habet, in ellipsi autem, si recta ordinate ducta in centrum cadit, reliqua autem eadem fiunt, figura in recta ordinate ducta descripta aequalis erit figurae in radio descriptae.

sit enim ellipsis, cuius diametrus sit AB, centrum Δ, et ordinate ducatur $\Gamma\Delta$, describanturque et in $\Gamma\Delta$ et in $A\Delta$ figurae aequiangulae $AZ, \Delta H$, habeat autem $\Delta\Gamma : \Gamma H$ rationem compositam ex ratione $A\Delta : \Delta Z$ et ea, quam habet latus rectum ad transuersum.



dico, esse $AZ = \Delta H$.

nam quoniam in uerbis Apollonii [I p. 126, 7—8] demonstratum est, esse $A\Delta^2 : AZ = A\Delta \times \Delta B : \Delta H$, dico, etiam permutando esse

$$A\Delta^2 : A\Delta \times \Delta B = AZ : \Delta H.$$

uerum $A\Delta^2 = A\Delta \times \Delta B$; ergo etiam $AZ = \Delta H$.

Ad prop. XLII.

Haec propositio XI casus habet, unum, si Δ intra Γ sumitur; manifestum enim, etiam parallelas intra

1) Quia $ZH : H\Gamma = H\Gamma : H\Theta$ et $H\Gamma = H\Delta$.

ras. W. 19. ἐστίν W. 21. οὕτω p. 23. οὕτω p. τὸ ΔH. ἴσον δέ] bis W. 24. AZ] ΔZ Wp, corr. Comm.

αἱ παράλληλοι ἐσωτέρω πεσοῦνται τῶν ΑΓΘ. ἑτέρας δὲ πέντε οὕτως· ἐὰν τὸ Δ ἐξωτέρω ληφθῇ τοῦ Γ, ἡ μὲν ΔΖ παράλληλος δηλονότι ἐξωτέρω πεσεῖται τῆς ΘΓ, ἡ δὲ ΔΕ ἢ μεταξὺ τῶν Α, Β ἢ ἐπὶ τὸ Β ἢ μεταξὺ τῶν Β, Θ ἢ ἐπὶ τὸ Θ ἢ ἐξωτέρω τοῦ Θ· τοῦ γὰρ Α ἐξωτέρω πεσεῖν αὐτὴν ἀδύνατον, ἐπειδὴ τὸ Δ ἐξωτέρω ἐστὶ τοῦ Γ καὶ δηλονότι καὶ ἡ δι' αὐτοῦ παράλληλος ἀγομένη τῇ ΑΓ. ἐὰν δὲ τὸ Δ ἐπὶ τὰ ἕτερα μέρη ληφθῇ τῆς τομῆς, ἢ ἀμφότεραι αἱ παράλληλοι μεταξὺ τῶν Θ, Β περατωθήσονται, ἢ ἡ μὲν ΔΖ ἐσωτέρω τοῦ Θ, τὸ δὲ Ε ἐπὶ τὸ Θ, ἢ τῆς ΔΖ ὡσαύτως μενούσης τὸ Ε ἐξωτέρω τοῦ Θ ἐλεύσεται· τοῦ δὲ Ε πάλιν ἐξωτέρω πίπτοντος τὸ Ζ ἢ ἐπὶ τὸ Θ πεσεῖται, ὡς εἶναι τὴν ΓΘΔ μίαν εὐθεῖαν, εἰ καὶ μὴ σώζεται κυρίως τότε τὸ τῆς παραλλήλου ἰδίωμα, ἢ ἐξωτέρω τοῦ Θ. δεῖ δὲ ἐπὶ τῆς ἀποδείξεως τῶν τελευταίων πέντε πτώσεων τὴν ΔΖ ἐκβάλλειν ἕως τῆς τομῆς καὶ τῆς ΗΓ παραλλήλου καὶ οὕτως ποιεῖσθαι τὴν ἀπόδειξιν.

δυνατὸν δὲ καὶ ἄλλην μίαν καταγραφὴν ἐπινοεῖν ἐκ τούτων, ὅταν δὴ λαμβανομένου ἑτέρου σημείου αἱ ἐξ ἀρχῆς εὐθεῖαι ποιῶσι τὸ λεγόμενον, ἀλλὰ τοῦτο θεώρημα μᾶλλόν ἐστιν ἢ πτῶσις.

Εἰς τὸ μγ'.

Ἔν τισι φέρεται ἀπόδειξις τοῦ θεωρήματος τούτου τοιαύτη·

---

1. αἱ] addidi, om. Wp. 2. οὕτω p. 5. τό] τῷ W. 7. ἐξωτέρω] Halley, ἐσωτέρω Wp. ἐστίν W. 8. ἐάν] p, ἐν W. 10. ἤ] om. Wp, corr. Comm. 11. E] om. Wp, corr. Comm. ΔΖ] Δ e corr. W. 18. οὕτω p. ἀπόδειξιν] corr. ex

$A\Gamma$, $\Gamma\Theta$ cadere; alios autem quinque hoc modo: si Δ extra Γ sumitur, parallela ΔZ, ut adparet, extra $\Theta\Gamma$ cadet, ΔE autem aut inter A, B cadet aut in B aut inter B, Θ aut in Θ aut extra Θ; neque enim fieri potest, ut extra A cadat, quoniam Δ extra Γ positum est et, ut adparet, etiam recta per id rectae $A\Gamma$ parallela ducta. sin Δ ad alteram partem sectionis sumitur, aut utraque parallela inter Θ, B terminabitur, aut ΔZ intra Θ, E autem in Θ, aut ΔZ in eadem positione manente E extra Θ cadet; rursus puncto E extra Θ cadente Z aut in Θ cadet, ita ut $\Gamma\Theta\Delta$ una sit recta, quamquam ita proprietas parallelae non prorsus seruatur, aut extra Θ. oportet autem in quinque ultimis casibus demonstrandis rectam ΔZ usque ad sectionem parallelamque $H\Gamma$ producere et ita demum demonstrationem perficere.

fieri autem potest, ut ex his alia quaedam figura fingatur, ubi scilicet sumpto alio puncto rectae ab initio sumptae efficiant[1]), quod quaerimus; sed haec propositio est potius quam casus.

Ad prop. XLIII.

In nonnullis codicibus demonstratio huius propositionis haec fertur:

---

1) Haec non satis intellego. fortasse scr. lin. 21 δὴ μή, ita ut significetur propositio $A\Theta\Gamma = B\Gamma$; cfr. infra p. 258, 19 sq.

ἀπόδειξιν W. 22. ποιῶσιν W. τοῦτο] τοῦτο τό Wp, corr. Halley. 23. μᾶλλόν] scripsi, ἔστω Wp (permutatis λλ et ω), om. Comm. ἤ] scripsi, ἡ Wp, οὐ Comm. 25. τισιν W.

ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΓΔ τῷ ἀπὸ ΓΒ, ἔστιν ἄρα, ὡς ἡ ΖΓ πρὸς ΓΒ, ἡ ΓΒ πρὸς ΓΔ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΓΖ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓΒ εἶδος, οὕτως ἡ ΖΓ πρὸς τὴν ΓΔ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπὸ ΓΒ, τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΑΓΒ τρίγωνον, ὡς δὲ ἡ ΖΓ πρὸς ΓΔ, τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΕΓΔ τρίγωνον· ὡς ἄρα τὸ ΕΓΖ τρίγωνον πρὸς τὸ ΒΑΓ τρίγωνον, τὸ ΕΓΖ πρὸς τὸ ΕΓΔ τρίγωνον. ἴσον ἄρα τὸ ΕΓΔ τρίγωνον τῷ ΒΓΑ. καὶ ὡς ἄρα ἐπὶ μὲν τῆς ὑπερβολῆς ἀναστρέψαντι, ἐπὶ δὲ τῆς ἐλλείψεως ἀνάπαλιν καὶ διελόντι, [ὡς] τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΕΑΒΖ τετράπλευρον, οὕτως τὸ ΕΓΖ πρὸς τὸ ΕΔΖ τρίγωνον· ἴσον ἄρα τὸ ΕΔΖ τρίγωνον τῷ ΕΑΒΖ τετραπλεύρῳ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΓΖ πρὸς τὸ ἀπὸ ΓΒ, τὸ ΕΓΖ πρὸς τὸ ΑΓΒ τρίγωνον, ἐπὶ μὲν τῆς ὑπερβολῆς διελόντι, ἐπὶ δὲ τῆς ἐλλείψεως ἀνάπαλιν καὶ ἀναστρέψαντι καὶ ἀνάπαλίν ἐστιν, ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΒΓ, τὸ ΕΑΒΖ τετράπλευρον πρὸς τὸ ΒΑΓ τρίγωνον. ὁμοίως δὲ καί, ὡς τὸ ἀπὸ ΓΒ πρὸς τὸ ὑπὸ ΑΚΒ, οὕτως τὸ ΑΓΒ τρίγωνον πρὸς τὸ ΜΑΒΚ τετράπλευρον· δι' ἴσου ἄρα, ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ὑπὸ ΑΚΒ, τὸ ΕΑΒΖ τετράπλευρον πρὸς τὸ ΑΒΚΜ. ὡς δὲ τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ὑπὸ ΑΚΒ, τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΚ, ὡς δὲ τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΚ, τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΘΚ τρίγωνον· καὶ ὡς ἄρα τὸ ΕΔΖ πρὸς τὸ ΗΘΚ, τὸ ΕΑΒΖ τετράπλευρον πρὸς τὸ ΜΑΒΚ. ἐναλλάξ, ὡς τὸ ΕΔΖ πρὸς τὸ ΕΑΒΖ, οὕτως τὸ ΗΘΚ πρὸς τὸ ΜΑΒΚ. ἴσον δὲ

1. ἐστί] ἐστίν W. 4. ΖΓ (alt.)] τῆς ΖΓ p. 5. ΑΓΒ] ΑΓΒ corr. ex ΑΒΓ W; corr. Comm. ΑΓΒ — 7. πρὸς τό]

quoniam enim est $Z\Gamma \times \Gamma\Delta = \Gamma B^2$ [prop XXXVII], erit [Eucl. VI, 17] $Z\Gamma : \Gamma B = \Gamma B : \Gamma\Delta$; quare etiam, ut figura in ΓZ descripta ad figuram in ΓB descriptam, ita $Z\Gamma : \Gamma\Delta$ [Eucl. VI, 19 coroll.]. est autem [Eucl. VI, 19] $Z\Gamma^2 : \Gamma B^2 = EZ\Gamma : A\Gamma B$ et [Eucl. VI, 1] $Z\Gamma : \Gamma\Delta = EZ\Gamma : E\Gamma\Delta$; itaque

$$E\Gamma Z : BA\Gamma = E\Gamma Z : E\Gamma\Delta.$$

quare $E\Gamma\Delta = B\Gamma A$ [Eucl. V, 9][1]). itaque etiam in hyperbola conuertendo, in ellipsi autem e contrario et dirimendo $EZ\Gamma : EABZ = E\Gamma Z : E\Delta Z$; quare $E\Delta Z = EABZ$. et quoniam est

$$\Gamma Z^2 : \Gamma B^2 = E\Gamma Z : A\Gamma B,$$

erit in hyperbola dirimendo, in ellipsi autem e contrario et conuertendo et e contrario

$$AZ \times ZB : B\Gamma^2 = EABZ : BA\Gamma.$$

similiter autem etiam $\Gamma B^2 : AK \times KB = A\Gamma B : MABK$; ex aequo igitur

$$AZ \times ZB : AK \times KB = EABZ : ABKM.$$

uerum $AZ \times ZB : AK \times KB = EZ^2 : HK^2$ [prop. XXI] $= E\Delta Z : H\Theta K$ [Eucl. VI, 19]; quare etiam

$$E\Delta Z : H\Theta K = EABZ : MABK.$$

1. Uerba ἴσον — $B\Gamma A$ lin. 9 superflua sunt.

om. p. 8. $BA\Gamma$] $BA\Gamma$ p et A e corr. W; *lcb* Comm., $B\Gamma A$ Halley. $E\Gamma\Delta$] $A\Gamma\Delta$ Wp, corr. Comm. 9. τρίγωνον] corr. ex τριγώνων W. $B\Gamma A$] $B\Gamma A$ W et Γ e corr. p, corr. Halley, *lcb* Comm. καὶ ὡς] ἔστιν Halley. 11. ὡς] deleo; καὶ ἔτι ἀνάπαλιν ὡς Comm., Halley; καὶ ἀνάπαλιν mg. m. 2 U. 12. οὕτω p. 14. $EAB\Delta$ p. 16. $A\Gamma B$] $A\Gamma B$ Wp, corr. Comm. 19. $EABZ$] $EAZB$ Wp, corr. Comm. 20. δέ] e corr. p. οὕτω p. 21. $MABK$] $MAKB$ Wp, corr. Comm. 23. $ABKM$] scripsi praeeunte Comm., $ABKM$ Wp. 29. οὕτω p.

τὸ *ΕΔΖ* τῷ *ΕΛΒΖ* ἐδείχθη· ἴσον ἄρα καὶ τὸ *ΗΘΚ* τῷ *ΜΛΒΚ* τετραπλεύρῳ. τὸ ἄρα *ΜΓΚ* τρίγωνον τοῦ *ΗΘΚ* διαφέρει τῷ *ΛΒΓ*.

ἐπιστῆσαι δεῖ ταύτῃ τῇ δείξει· ὀλίγην γὰρ ἀσάφειαν ἔχει ἐν ταῖς ἀναλογίαις τῆς ἐλλείψεως· ἵνα τὰ διὰ τὴν συντομίαν τοῦ ῥητοῦ ὁμοῦ λεγόμενα διῃρημένως ποιήσωμεν, οἷον — φησὶ γάρ· ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ *ΖΓ* πρὸς τὸ ἀπὸ *ΓΒ*, τὸ *ΕΓΖ* τρίγωνον πρὸς τὸ *ΛΒΓ*, ἀνάπαλιν καὶ ἀναστρέψαντι καὶ ἀνάπαλιν — ὡς τὸ ἀπὸ *ΒΓ* πρὸς τὸ ἀπὸ *ΓΖ*, τὸ *ΛΒΓ* πρὸς τὸ *ΕΖΓ*· ἀναστρέψαντι, ὡς τὸ ἀπὸ *ΒΓ* πρὸς τὸ ὑπὸ *ΛΖΒ*, τουτέστιν ἡ ὑπεροχὴ τοῦ ἀπὸ *ΓΒ* πρὸς τὸ ἀπὸ *ΓΖ* διὰ τὸ διχοτομίαν εἶναι τὸ *Γ* τῆς *ΑΒ*, οὕτως τὸ *ΛΒΓ* τρίγωνον πρὸς το *ΛΒΖΕ* τετράπλευρον· ἀνάπαλιν, ὡς τὸ ὑπὸ *ΑΖΒ* πρὸς τὸ ἀπὸ *ΒΓ*, τὸ *ΕΛΒΖ* τετράπλευρον πρὸς τὸ *ΛΒΓ* τρίγωνον.

ἔχει δὲ πτώσεις ἐπὶ μὲν τῆς ὑπερβολῆς $\overline{ια}$, ὅσας εἶχε καὶ τὸ πρὸ αὐτοῦ ἐπὶ τῆς παραβολῆς, καὶ ἄλλην μίαν, ὅταν τὸ ἐπὶ τοῦ *Η* λαμβανόμενον σημεῖον ταὐτὸν ᾖ τῷ *Ε*· τότε γὰρ συμβαίνει τὸ *ΕΔΖ* τρίγωνον μετὰ τοῦ *ΛΒΓ* ἴσον εἶναι τῷ *ΓΕΖ*· δέδεικται μὲν γὰρ τὸ *ΕΔΖ* τρίγωνον ἴσον τῷ *ΛΒΖΕ* τετραπλεύρῳ, το δὲ *ΛΒΖΕ* τοῦ *ΓΖΕ* τριγώνου διαφέρει τῷ *ΛΒΓ*. ἐπὶ δὲ τῆς ἐλλείψεως ἢ ταὐτόν ἐστι τὸ *Η* τῷ *Ε* ἢ ἐσωτέρω λαμβάνεται τοῦ *Ε*· καὶ δῆλον, ὅτι ἀμφότεραι αἱ παράλληλοι μεταξὺ πεσοῦνται τῶν *Δ*, *Ζ*, ὡς ἔχει

1. *ΕΛΒΖ*] *Λ* in ras. W. τό] mut. in τῷ W, τῷ p. 2. τῷ *ΜΛΒΚ*] om. Wp, corr. Comm. τὸ ἄρα] om. W initio lin., lac. 3 litt. p, corr. Comm. *ΜΓΚ*] *ΜΓΛ* Wp, corr. Comm. 3. *ΗΘΚ*] *Θ* e corr. W. *ΛΒΓ*] scripsi, *ΑΒΓ* Wp. 6. τήν] e corr. p. 7. ποιήσωμεν] corr. ex ποιήσομεν W. φησίν Wp. γάρ] om. Halley. 9. *ΛΒΓ*] *Λ* e corr. W.

permutando $E\Delta Z : E\Delta BZ = H\Theta K : M\Delta BK$. demonstrauimus autem $E\Delta Z = E\Delta BZ$; quare etiam $H\Theta K = M\Delta BK$. ergo $M\Gamma K = \Delta B\Gamma + H\Theta K$ 1).

In hanc demonstrationem inquirendum est (est enim in proportionibus ellipsis subobscura), ut, quae propter breuitatem uerborum Apollonii coniunguntur, explicemus, uelut 2) (dicit enim: quoniam est

$$Z\Gamma^2 : \Gamma B^2 = E\Gamma Z : \Delta B\Gamma,$$

e contrario et conuertendo et e contrario [u. supra p. 256, 17]) $B\Gamma^2 : \Gamma Z^2 = \Delta B\Gamma : EZ\Gamma$; conuertendo $B\Gamma^2 : AZ \times ZB$ (hoc est $\Gamma B^2 \div \Gamma Z^2$ [Eucl. II, 5], quia Γ punctum medium est rectae AB) $= \Delta B\Gamma : \Delta BZE$; e contrario

$$AZ \times ZB : B\Gamma^2 = E\Delta BZ : \Delta B\Gamma.$$

Habet autem in hyperbola XI casus, quot habuit etiam propositio praecedens in parabola, et unum alium, ubi punctum in H sumptum idem est ac E; ita enim sequitur, esse $E\Delta Z + \Delta B\Gamma = \Gamma EZ$; demonstrauimus enim, esse $E\Delta Z = \Delta BZE$, et

$$\Delta BZE = \Gamma ZE \div \Delta B\Gamma.$$

in ellipsi autem aut idem est H ac E aut intra E sumitur; et manifestum, ita utramque parallelam inter

1) Scriptum oportuit lin. 3 τῷ $H\Theta K$ διαφέρει τοῦ $AB\Gamma$.
2) οἷον lin. 7 sanum uix est.

Post ἀνάπαλιν (alt.) add. ἔστι γὰρ ἀνάπαλιν Halley cum Comm., fort. recte. 10. $\Delta B\Gamma$] $AB\Gamma$ Wp, corr. Halley; *lcb* Comm. 13. οὕτω p. 18. εἶχεν W. 19. ὅταν] om. Wp, corr. Halley cum Comm. 22. Post τρίγωνον del. μετὰ τούτου $\overline{\lambda\beta\gamma}$ ἴσον εἶναι p. 23. δέ] $\overline{\Delta E}$ W. τοῦ ΓZE] scripsi; om. Wp, τοῦ ΓEZ Halley cum Comm. τριγώνου] $\overset{\omega}{\nabla}$ p. $\Delta B\Gamma$ p. 24. ἐστιν W.

ἐν τῷ ῥητῷ. εἰ δὲ ἐξωτέρω ληφθῇ τὸ Η τοῦ Ε, καὶ ἡ ἀπ' αὐτοῦ τῇ ΕΖ παράλληλος μεταξὺ πέσῃ τῶν Ζ, Γ, τὸ Θ σημεῖον ποιεῖ πτώσεις πέντε· ἢ γὰρ μεταξὺ τῶν Δ, Β πίπτει ἢ ἐπὶ τὸ Β ἢ μεταξὺ τῶν Β, Ζ ἢ ἐπὶ τὸ Ζ ἢ μεταξὺ τῶν Ζ, Γ. ἐὰν δὲ ἡ διὰ τοῦ Η τῇ κατηγμένῃ παράλληλος ἐπὶ τὸ Γ κέντρον πίπτῃ, τὸ Θ πάλιν σημεῖον ποιήσει ἄλλας πέντε πτώσεις ὡσαύτως· καὶ δεῖ ἐπὶ τούτῳ σημειώσασθαι, ὅτι τὸ ὑπὸ τῶν παραλλήλων ταῖς ΕΔ, ΕΖ γιγνόμενον τρίγωνον ἴσον γίνεται τῷ ΛΒΓ τριγώνῳ· ἐπεὶ γάρ ἐστιν, ὡς τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΓ, τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΘΓ· ὅμοια γάρ· ὡς δὲ τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΓ, τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ὑπὸ ΒΓΑ, τουτέστι τὸ ἀπὸ ΒΓ, ὡς ἄρα τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΘΓ, τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΒΓ. ὡς δὲ τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΒΓ, οὕτως ἐδείχθη ἔχον τὸ ΛΒΖΕ τετράπλευρον πρὸς τὸ ΛΒΓ τρίγωνον· καὶ ὡς ἄρα τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΘΓ, τὸ ΛΒΖΕ τετράπλευρον πρὸς τὸ ΛΒΓ τρίγωνον. καὶ ἐναλλάξ. καὶ ἄλλως δὲ ταύτας δυνατὸν δεῖξαι λέγοντας, ὅτι ἐπὶ τῶν διπλασίων αὐτῶν παραλληλογράμμων ταῦτα δέδεικται ἐν τῷ σχολίῳ τοῦ μα' θεωρήματος.

ἐὰν δὲ ἡ διὰ τοῦ Η τῇ ΕΖ παράλληλος ἀγομένη μεταξὺ πέσῃ τῶν Γ, Α, ἐκβληθήσεται μέν, ἕως ὅτε ἡ ΓΕ αὐτῇ συμπέσῃ, τὸ δὲ Θ σημεῖον ποιήσει πτώσεις

---

1. ληφθῇ] scripsi, λειφθῇ W, ληφθείη p, m. 2 W. 3. Θ] Ο Wp, corr. Comm. 4. Β ἢ] β̄η W. 5. τό] corr. ex τῷ W. ἢ] ins. m. 1 W. 6. πίπτῃ] scripsi, πίπτει Wp. 13. ὑπό (alt.)] om. Wp, corr. Comm. τουτέστιν W. 16. ΛΒΖΕ] Λ corr. ex Α W, ΑΒΖΕ p. 18. τετράπλευρον] -άπλευ- in ras. W. 19. ΛΒΓ] ΑΒΓ Wp, corr. Comm. 21. ἐν τῷ] p, ὄντως W. σχολίῳ] comp. p, χ̊ W. 23. Η] in ras. W.

Δ, Z cadere, sicut apud Apollonium est. sin H extra E sumitur, et recta ab eo rectae EZ parallela ducta inter Z, Γ cadit, punctum Θ quinque casus efficit; aut enim inter Δ, B cadit aut in B aut inter B, Z aut in Z aut inter Z, Γ. sin recta per H ordinatae parallela ducta in Γ centrum cadit, rursus punctum Θ quinque alios casus efficiet eodem modo; et hic animaduertendum, triangulum a rectis $E\Delta$, EZ rectis parallelis effectum aequalem fieri triangulo $AB\Gamma$; nam quoniam est $EZ^2 : H\Gamma^2 = E\Delta Z : H\Theta\Gamma$ [Eucl. VI, 19]; nam similes sunt; et

$$EZ^2 : H\Gamma^2 = BZ \times ZA : B\Gamma \times \Gamma A \text{ [prop. XXI]}$$

$= BZ \times ZA : B\Gamma^2$, erit

$$E\Delta Z : H\Theta\Gamma = BZ \times ZA : B\Gamma^2.$$

demonstrauimus autem, esse

$$BZ \times ZA : B\Gamma^2 = ABZE : AB\Gamma;$$

quare etiam $E\Delta Z : H\Theta\Gamma = ABZE : AB\Gamma$. et permutando.[1]) uerum hos casus[2]) aliter quoque demonstrare possumus dicentes, haec in scholio ad prop. XLI [supra p. 252] de parallelogrammis demonstrata esse, quae his triangulis duplo maiora sunt.



sin recta per H rectae EZ parallela ducta inter Γ, A cadit, producetur, donec ΓE cum ea concurrat,

1) Et $E\Delta Z = ABZE$, ut supra demonstrauimus.
2) Sc. ubi recta per H ducta in centrum ellipsis cadit.

Fig. in W parum recte descripta est.

ζ̅· ἢ γὰρ μεταξὺ τῶν Β, Δ ἢ ἐπὶ τὸ Β πίπτει ἢ μεταξὺ τῶν Β, Ζ ἢ ἐπὶ τὸ Ζ ἢ μεταξὺ τῶν Ζ, Γ ἢ ἐπὶ τὸ Γ ἢ μεταξὺ τῶν Γ, Α· καὶ ἐπὶ τούτων τῶν πτώσεων συμβαίνει τὴν διαφορὰν τῶν ΑΒΓ, ΗΘΚ τριγώνων κατωτέρω συνίστασθαι τῆς ΑΒ εὐθείας ὑπὸ τῆς ΑΓ ἐκβαλλομένης.

ἐὰν δὲ τὸ Η ἐπὶ τὰ ἕτερα μέρη ληφθῇ τῆς τομῆς, καὶ ἡ ἀπὸ τοῦ Η τῇ ΕΖ παράλληλος μεταξὺ πίπτῃ τῶν Β, Ζ, ἐκβληθήσεται μὲν διὰ τὴν ἀπόδειξιν, ἕως οὗ τέμῃ τὴν ΑΓ, τὸ δὲ Θ σημεῖον ποιήσει πτώσεις ζ̅ ἢ μεταξὺ ὂν τῶν Β, Ζ ἢ ἐπὶ τὸ Ζ πῖπτον ἢ μεταξὺ τῶν Ζ, Γ ἢ ἐπὶ τὸ Γ ἢ μεταξὺ τῶν Γ, Α ἢ ἐπὶ τὸ Α ἢ ἐξωτέρω τοῦ Α. ἐὰν δὲ ἡ ἀπὸ τοῦ Η τῇ ΕΖ παράλληλος ἐπὶ τὸ Ζ πίπτῃ, ὥστε μίαν εὐθεῖαν εἶναι τὴν ΕΖΗ, τὸ Θ σημεῖον ποιήσει πτώσεις ε̅· ἢ γὰρ μεταξὺ τῶν Ζ, Γ πεσεῖται ἢ ἐπὶ τὸ Γ ἢ μεταξὺ τῶν Γ, Α ἢ ἐπὶ τὸ Α ἢ ἐξωτέρω τοῦ Α. ἐὰν δὲ ἡ ΗΚ μεταξὺ πίπτῃ τῶν Ζ, Γ, τὸ Θ ποιήσει πτώσεις ε̅· ἢ γὰρ μεταξὺ τῶν Ζ, Γ πεσεῖται ἢ ἐπὶ τὸ Γ ἢ μεταξὺ τῶν Γ, Α ἢ ἐπὶ τὸ Α ἢ ἐξωτέρω τοῦ Α. ἐὰν δὲ ἡ ΗΚ ἐπὶ τὸ Γ κέντρον πίπτῃ, τὸ Θ σημεῖον ποιήσει πτώσεις τρεῖς ἢ μεταξὺ πῖπτον τῶν Γ, Α ἢ ἐπὶ τὸ Α ἢ ἐξωτέρω τοῦ Α· καὶ ἐπὶ τούτων τῶν πτώσεων συμβήσεται πάλιν τὸ ΗΘΚ τρίγωνον ἴσον γίνεσθαι τῷ ΑΒΓ τριγώνῳ. ἐὰν δὲ ἡ ΗΚ μεταξὺ πίπτῃ τῶν Γ, Α, τὸ Θ σημεῖον ἢ μεταξὺ τῶν Γ, Α πεσεῖται ἢ ἐπὶ τὸ Α ἢ ἐξωτέρω τοῦ Α.

συμβαίνει οὖν ἐπί τινος ἐλλείψεως τὰς πάσας πτώσεις εἶναι μβ̅ καὶ ἐπὶ τῆς τοῦ κύκλου δὲ περιφερείας

---

5. τῆς] scripsi, τάς Wp. 6. ΑΓ] scripsi, ΑΒ Wp. 8. πίπτῃ] scripsi, πίπτει Wp. 10. ΑΓ] ΑΓ p. 11. ὄν —

et punctum Θ casus VII efficiet; aut enim inter B, Δ cadit aut in B aut inter B, Z aut in Z aut inter Z, Γ aut in Γ aut inter Γ, A. et in his casibus adcidit, ut differentia triangulorum $AB\Gamma$, $H\Theta K$ infra rectam AB a recta $A\Gamma$ producta construatur.

sin H ad alteram partem sectionis sumitur, et recta ab H rectae EZ parallela inter B, Z cadit, demonstrationis causa producetur, donec rectam $A\Gamma$ secet, punctum Θ autem casus efficiet VII aut inter B, Z positum aut in Z cadens aut inter Z, Γ aut in Γ aut inter Γ, A aut in A aut extra A. sin recta ab H rectae EZ parallela in Z cadit, ita ut EZH una sit recta, punctum Θ casus V efficiet; nam aut inter Z, Γ cadet aut in Γ aut inter Γ, A aut in A aut extra A. sin HK inter Z, Γ cadit, Θ casus V efficiet; aut enim inter Z, Γ cadet aut in Γ aut inter Γ, A aut in A aut extra A. sin HK in Γ centrum cadit, punctum Θ tres casus efficiet aut inter Γ, A cadens aut in A aut extra A; et in his casibus rursus adcidet, ut sit $H\Theta K = AB\Gamma$. sin HK inter Γ, A cadit, punctum Θ aut inter Γ, A cadet aut in A aut extra A.

adcidit igitur, ut in ellipsi omnino XLII sint casus et in ambitu quoque circuli totidem, ita ut casus huius propositionis omnino sint XCVI.

μεταξύ] om. p. 14. πίπτῃ] corr. ex πίπτει p. 18. μεταξύ — 21. HK] om. p. 19. ἤ (alt.)] om. W, corr. Comm. 20. τό] τῶι W. 22. τό] p, τῶν W. 25. $AB\Gamma$] AB Wp, corr. Comm. 26. τῶν — πεσεῖ-] in ras. W. 27. τό] p, τῶι W. ἤ] p, om. W. 28. τινος] τῆς?

τοσαύτας, ὡς εἶναι τὰς πάσας πτώσεις τούτου τοῦ θεωρήματος ϙ̅ϛ̅.

Εἰς τὸ μδ'.

Ἐπεὶ οὖν ἀντικείμεναί εἰσιν αἱ ΖΑ, ΒΕ, ὧν διάμετρος ἡ ΑΒ, ἡ δὲ διὰ τοῦ κέντρου ἡ ΖΓΕ καὶ ἐφαπτόμεναι τῶν τομῶν αἱ ΖΗ, ΔΕ, παράλληλός ἐστιν ἡ ΖΗ τῇ ΕΔ] ἐπεὶ γὰρ ὑπερβολή ἐστιν ἡ ΑΖ καὶ ἐφαπτομένη ἡ ΖΗ καὶ κατηγμένη ἡ ΖΟ, ἴσον ἐστὶ τὸ ὑπὸ ΟΓΗ τῷ ἀπὸ ΓΑ διὰ τὸ λζ' θεώρημα· ὁμοίως δὴ καὶ τὸ ὑπὸ ΞΓΔ τῷ ὑπὸ ΓΒ ἐστιν ἴσον. ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΟΓΗ πρὸς τὸ ἀπὸ ΑΓ, οὕτως τὸ ὑπὸ ΞΓΔ πρὸς τὸ ἀπὸ ΒΓ, καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ ΟΓΗ πρὸς τὸ ὑπὸ ΞΓΔ, τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ. ἴσον δὲ τὸ ἀπὸ ΑΓ τῷ ἀπὸ ΓΒ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΟΓΗ τῷ ὑπὸ ΞΓΔ. καί ἐστιν ἡ ΟΓ τῇ ΓΞ ἴση· καὶ ἡ ΗΓ ἄρα τῇ ΓΔ ἐστιν ἴση· ἔστι δὲ καὶ ἡ ΖΓ τῇ ΓΕ διὰ τὸ λ'· αἱ ἄρα ΖΓΗ ἴσαι εἰσὶ ταῖς ΕΓΔ. καὶ γωνίας ἴσας περιέχουσι τὰς πρὸς τῷ Γ· κατὰ κορυφὴν γάρ. ὥστε καὶ ἡ ΖΗ τῇ ΕΔ ἐστιν ἴση καὶ ἡ ὑπὸ ΓΖΗ γωνία τῇ ὑπὸ ΓΕΔ. καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΕΔ.

αἱ πτώσεις αὐτοῦ ι̅β̅ εἰσίν, καθάπερ ἐπὶ τῆς ὑπερβολῆς ἐν τῷ μγ' ἔχει, καὶ ἡ ἀπόδειξις ἡ αὐτή.

Εἰς τὸ με'.

Ἐπιστῆσαι χρὴ τῷ θεωρήματι τούτῳ πλείους ἔχοντι πτώσεις. ἐπὶ μὲν γὰρ τῆς ὑπερβολῆς ἔχει κ̅· τὸ γὰρ

3. Hic Εἰς τὸ με' l. 24 — p. 266, 24 hab. W. 7. τῇ] scripsi, τῆς Wp. 9. ΖΟ] ΖΘ Wp, corr. Comm. ΟΓΗ] ΘΓΗ Wp, corr. Comm. 10. δέ Halley cum Comm. ὑπό (alt.)] ἀπό p. 11. ΟΓΗ] ΘΓΗ Wp, corr. Comm. 12.

Ad prop. XLIV.

Quoniam igitur ZA, BE oppositae sunt, quarum diametrus est AB, recta autem per centrum ducta $Z\Gamma E$, sectionesque contingentes ZH, ΔE, rectae ΔE parallela est ZH I p. 134, 21—24] quoniam enim AZ hyperbola est et contingens ZH et ordinate ducta ZO, erit propter prop. XXXVII $O\Gamma \times \Gamma H = \Gamma A^2$. iam eodem modo etiam

$$\Xi\Gamma \times \Gamma\Delta = \Gamma B^2.$$

itaque $O\Gamma \times \Gamma H : A\Gamma^2 = \Xi\Gamma \times \Gamma\Delta : B\Gamma^2$, et permutando $O\Gamma \times \Gamma H : \Xi\Gamma \times \Gamma\Delta = A\Gamma^2 : \Gamma B^2$. uerum

$$A\Gamma^2 = \Gamma B^2;$$

itaque etiam $O\Gamma \times \Gamma H = \Xi\Gamma \times \Gamma\Delta$. est autem $O\Gamma = \Gamma\Xi$ [prop. XXX]; quare etiam $H\Gamma = \Gamma\Delta$. est autem etiam propter prop. XXX $Z\Gamma = \Gamma E$; itaque $Z\Gamma$, ΓH rectis $E\Gamma$, $\Gamma\Delta$ aequales sunt. et angulos ad Γ positos aequales comprehendunt; ad uerticem enim inter se positi sunt; itaque [Eucl. I, 4] $ZH = E\Delta$ et $\angle\, \Gamma ZH = \Gamma E\Delta$. et sunt alterni; ergo ZH, $E\Delta$ parallelae sunt [Eucl. I, 27].

Casus huius propositionis XII sunt, sicut in hyperbola in prop. XLIII se habet, et demonstratio eadem est.

Ad prop. XLV.

Inquirendum est in hanc propositionem, quae complures habeat casus. in hyperbola enim XX habet;

οὕτω p. 13. ὑπό] corr. ex ἀπό W. $O\Gamma H$] $\Theta\Gamma H$ Wp, corr. Comm. 14. ΓB (alt.)] corr. ex ΓH W, $\Gamma\Theta$ p. 15. $O\Gamma H$] $\Theta\Gamma H$ Wp, corr. Comm. 16. $O\Gamma$] $\Theta\Gamma$ Wp, corr. Comm. ἔστιν W. 17. τῇ] ἴσῃ τῇ Halley. εἰσίν W. 18. περιέχουσιν W. τῷ] scripsi, τό Wp. 24 sq. ante l. 3 hab. W.

ἀντὶ τοῦ B λαμβανόμενον σημεῖον ἢ ταὐτόν ἐστι τῷ A ἢ ταὐτὸν τῷ Γ· τότε γὰρ συμβαίνει τὸ ἀπὸ τῆς $A\Theta$ τρίγωνον ὅμοιον τῷ $\Gamma\Delta A$ ταὐτὸν εἶναι τῷ ἀποτεμνομένῳ τριγώνῳ ὑπὸ τῶν παραλλήλων ταῖς $\Delta A\Gamma$. ἐὰν δὲ μεταξὺ ληφθῇ τὸ B σημεῖον τῶν A, Γ, καὶ τὰ Δ, A ἀνωτέρω ὦσι τῶν περάτων τῆς δευτέρας διαμέτρου, γίνονται πτώσεις τρεῖς· τὰ γὰρ Z, E ἢ ἀνωτέρω τῶν περάτων φέρονται ἢ ἐπ' αὐτὰ ἢ κατωτέρω. ἐὰν δὲ τὰ Δ, A ἐπὶ τὰ πέρατα ὦσι τῆς δευτέρας διαμέτρου, τὰ Z, E κατωτέρω ἐνεχθήσονται. ὁμοίως δὲ καὶ † ἐὰν ἐξωτέρω ληφθῇ τοῦ Γ τὸ B, [καὶ] ἡ $\Theta\Gamma$ ἐπὶ τὸ Γ ἐκβληθήσεται, συμβαίνει δὲ οὕτως γίνεσθαι ἄλλας πτώσεις τρεῖς· τοῦ γὰρ Δ σημείου ἢ ἀνωτέρω φερομένου τοῦ πέρατος τῆς δευτέρας διαμέτρου ἢ ἐπ' αὐτὸ ἢ κατωτέρω καὶ τὸ Z ὁμοίως φερόμενον ποιήσει τὰς τρεῖς πτώσεις. ἐὰν δὲ ἐπὶ τὰ ἕτερα μέρη τῆς τομῆς ληφθῇ τὸ B σημεῖον, ἡ μὲν $\Gamma\Theta$ ἐκβληθήσεται ἐπὶ τὸ Θ διὰ τὴν ἀπόδειξιν, αἱ δὲ BZ, BE ποιοῦσι πτώσεις τρεῖς, ἐπειδὴ τὸ A ἐπὶ τὸ πέρας φέρεται τῆς δευτέρας διαμέτρου ἢ ἀνωτέρω ἢ κατωτέρω.

ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας οὐδὲν ποικίλον ἐροῦμεν, ἀλλὰ ὅσα ἐν τῷ προλαβόντι θεωρήματι ἐλέχθη· ὡς εἶναι τὰς πτώσεις τοῦ θεωρήματος τούτου $\overline{\rho\delta}$.

---

2. A] scripsi, Δ Wp. τότε γάρ] καὶ τότε Halley cum Comm.; fort. τότε δέ. 6. A] Z Wp, corr. Comm. ὦσιν W. 7. E] E, H Wp, corr. Comm. 8. ἢ (tert.)] om. Wp, corr. Comm. 9. ὦσιν W. 11. B] corr. ex Θ W. 12. καί] deleo. Γ] Wp, H Halley. οὕτω p. 13. Δ] corr. ex A W. 18. Θ] H Halley. 19. ποιοῦσιν W. τὸ A] τὰ Z, E Halley cum Comm. 21. ἐπὶ δέ] addidi, om. Wp. 23. ἐλέχθη] scripsi, λεχθῇ Wp. 24. $\overline{\rho\delta}$] scripsi, $\overline{\rho}$ Wp.

nam punctum, quod pro B sumitur, aut idem est ac A aut idem ac Γ; ita[1]) enim sequitur, triangulum in $A\Theta$ descriptum triangulo $\Gamma\Delta\Lambda$ similem eundem esse ac triangulum a rectis abscisum rectis $\Delta\Lambda$, $\Lambda\Gamma$ parallelis. sin punctum B inter A, Γ sumitur, et puncta Δ, Λ supra terminos alterius diametri posita sunt, tres casus efficiuntur; nam Z, E aut supra terminos cadunt aut in eos aut infra. sin Δ, Λ in terminis alterius diametri posita sunt, Z, E infra cadent. similiter uero ....[2]) si B extra Γ sumitur, $\Theta\Gamma$ ad Γ uersus producetur; ita autem adcidit, ut tres alii efficiantur casus; nam puncto Δ aut supra terminum alterius diametri cadente aut in eum aut infra eum etiam Z similiter cadens tres illos casus efficiet. sin ad alteram partem sectionis sumitur punctum B, $\Gamma\Theta$ propter demonstrationem ad Θ uersus producetur, BZ, BE autem tres casus efficiunt, quoniam Λ in terminum alterius diametri cadit aut supra aut infra.

in ellipsi uero et ambitu circuli singula non dicemus, sed ea tantum, quae in propositione praecedenti[3]) dicta sunt. quare casus huius propositionis CIV sunt.

---

1) H. e. si B in A cadit. quare litteras A, Γ lin. 2 permutauerunt Comm. Halley.

2) Hic deest casus, ubi Δ, Λ infra terminos cadunt; tum etiam Z, E infra cadunt. omnino omnes XX casus non enumerantur nec probabiliter restitui possunt, quia diuisiones Eutocii parum perspicuae sunt.

3) Immo prop. XLIII. cum ibi in ellipsi XLII casus enumerentur, hic quoque in ellipsi circuloque LXXXIV statuendi sunt. quare, si numerus XX supra p. 264, 26 in hyperbola propositus uerus est, adparet hic lin. 24 $\overline{\varrho\delta}$ scribendum esse.

δύναται δὲ τὰ τῆς προτάσεως δείκνυσθαι καὶ ἐπὶ ἀντικειμένων.

Εἰς τὸ μϛ'.

Τοῦτο τὸ θεώρημα πτώσεις ἔχει πλείους, ἃς δείξομεν προσέχοντες ταῖς πτώσεσι τοῦ μβ'.

ὑποδείγματος δὲ χάριν, ἐὰν τὸ Z ἐπὶ τὸ B πίπτοιτο, αὐτόθεν ἐροῦμεν· ἐπεὶ τὸ $B\Delta\Lambda$ ἴσον ἐστὶ τῷ $\Theta B\Delta M$,





κοινὸν ἀφῃρήσθω τὸ $NM\Delta B$· λοιπὸν ἄρα τὸ ΛNM τῷ $N\Theta B$ ἐστιν ἴσον.

ἐπὶ δὲ τῆς λοιπῆς ἐροῦμεν· ἐπειδὴ τὸ $\Lambda E\Delta$ τῷ $\Theta B\Delta M$ ἐστιν ἴσον, τουτέστι τῷ $KH\Delta M$ καὶ τῷ HZE, τουτέστι τῷ ZKN καὶ τῷ $NE\Delta M$, κοινὸν ἀφῃρήσθω τὸ $NE\Delta M$· καὶ λοιπὸν ἄρα τὸ ΛNM τῷ KZN ἴσον.

Εἰς τὸ μζ'.

Τοῦτο τὸ θεώρημα ἐπὶ μὲν τῆς ὑπερβολῆς πτώσεις ἔχει, ὅσας τὸ πρὸ αὐτοῦ ἐπὶ τῆς παραβολῆς εἶχεν, τὰς

4. ἅς] addidi, om. Wp. δείξομεν δέ Halley cum Comm. 5. πτώσεσιν W. 6. πίπτοιτο] p, corr. ex πίπτειτο W. 7. ἐροῦμεν] ἐροῦ p. ἐπεί] ἐπί Wp, corr. Comm. $B\Delta\Lambda$] $B\Delta A$ Wp, corr. Comm. ἐστίν W. τῷ] τό Wp, corr. Comm. $\Theta B\Delta M$] $OB\Delta M$ Wp, corr. Comm. 8. $NM\Delta B$] $NM\Delta AB$ Wp, corr. Comm. 10. ἐπί] -ί in ras. W. δέ] -έ in ras. W. $\Lambda E\Delta$] Δ e corr. p. 11. τουτέστιν W. 12. τουτέστιν W. 13. καί] p, καὶ αἰ W, om. Comm. λοιπόν] -ό- e corr. W. ἄρα] addidi cum Comm., om. Wp. ΛNM] ANM Wp, corr. Comm. KZN] N ins. m. 1 W, KZH p.

propositio autem etiam de oppositis demonstrari potest.

Ad prop XLVI.

Haec propositio complures habet casus, quos demonstrabimus ad casus propositionis XLII animaduertentes.

exempli autem gratia, si Z in B cadit, statim dicemus: quoniam est [prop. XLII] $B\Delta\Lambda = \Theta B\Delta M$, auferatur, quod commune est, $NM\Delta B$; itaque, qui relinquitur, triangulus $\Lambda NM = N\Theta B$.

in reliqua autem figura dicemus: quoniam

$$\Lambda E\Delta = \Theta B\Delta M \text{ [prop. XLII]}$$
$$= KH\Delta M + HZE = ZKN + NE\Delta M,$$

auferatur, quod commune est, $NE\Delta M$; erit igitur etiam, qui relinquitur, triangulus $\Lambda NM = KZN$.

Ad prop. XLVII.

Haec propositio in hyperbola totidem habet casus, quot praecedens in parabola habuit, demonstrationes



autem eorum efficiemus ad casus propositionis XLIII animaduertentes, et in ellipsi quoque demonstrationes

---

In Fig. 1 om. Λ W, pro N hab. H W.
In Fig. 3 pro Λ hab. A, pro E hab. O, O et N om. W.

δὲ ἀποδείξεις αὐτῶν ποιησόμεθα προσέχοντες ταῖς πτώσεσι τοῦ μγ' θεωρήματος, καὶ ἐπὶ τῆς ἐλλείψεως δὲ τὰς ἀποδείξεις ἐκ τῶν πτώσεων τοῦ μγ', οἷον ἐπὶ τῆς ὑποκειμένης καταγραφῆς τοῦ *Η* σημείου ἐκτὸς εἰλημμένου, ἐπειδὴ ἴσον ἐστὶ τὸ *ΛΑΓ* τρίγωνον τοῖς *ΘΗΩ*, *ΩΓΜ*, τουτέστι τοῖς *ΟΘΓ*, *ΟΗΜ* τριγώνοις, τῷ δὲ *ΛΑΓ* ἴσον ἐστὶ τό τε *ΞΠΓ* τρίγωνον καὶ τὸ *ΛΑΠΞ* τετράπλευρον, τουτέστι τὸ *ΝΘΠ* τρίγωνον διὰ τὰ δεδειγμένα ἐν τῷ μγ' θεωρήματι, καὶ τὰ *ΞΠΓ*, *ΝΘΠ* ἄρα τρίγωνα ἴσα ἐστὶ τοῖς *ΟΘΓ*, *ΟΜΗ* τριγώνοις. κοινὸν ἀφῃρήσθω τὸ *ΘΟΓ* τρίγωνον· λοιπὸν ἄρα τὸ *ΞΟΝ* τῷ *ΗΟΜ* ἴσον ἐστίν. καὶ παράλληλος ἡ *ΝΞ* τῇ *ΜΗ*· ἴση ἄρα ἡ *ΝΟ* τῇ *ΟΗ*.

Εἰς τὸ μη'.

Καὶ τούτου αἱ πτώσεις ὡσαύτως ἔχουσι τοῖς προειρημένοις ἐπὶ τοῦ μζ' κατὰ τὴν τῆς ὑπερβολῆς καταγραφήν.

Εἰς τὸ μθ'.

Λοιπὸν ἄρα τὸ *ΚΛΝ* τρίγωνον τῷ *ΔΛΠΓ* παραλληλογράμμῳ ἐστὶν ἴσον. καὶ ἴση ἐστὶν ἡ ὑπὸ *ΔΛΠ* γωνία τῇ ὑπὸ *ΚΛΝ* γωνίᾳ· διπλάσιον ἄρα ἐστὶ τὸ ὑπὸ *ΚΛΝ* τοῦ ὑπὸ *ΛΔΓ*] ἐκκείσθω γὰρ χωρὶς τὸ *ΚΛΝ* τρίγωνον καὶ τὸ *ΔΛΠΓ* παραλ-

---

2. πτώσεσιν W. 5. ἐστίν W. 6. τουτέστιν W. 7. τῷ] scripsi, τό Wp. δέ] γάρ Wp, corr. Halley. ἐστίν W. τό] W, τῷ p. *ΖΠΓ* p. τρίγωνον] scripsi, τριγώνῳ Wp. τό] W, τῷ p. 8. τετράπλευρον] W, comp. p. τουτέστιν W. 10. ἐστίν W. *ΟΜΗ*] *ΟΜ* W, *ΟΔΛ* p, corr. Comm. 12. *ΗΟΜ*] *ΗΘΜ* Wp, corr. Halley, *mog* Comm. 13. *ΟΗ*] *ΘΗ* Wp, corr. Comm. 15. ἔχουσιν W. 22. ἐστίν W. 23. *ΔΛΠΓ*] *ΔΛΠΤ* Wp, corr. Comm.

efficiemus e casibus propositionis XLIII, uelut in figura infra descripta puncto H extra E sumpto, quoniam est [prop. XLIII]

$$\Lambda A\Gamma = \Theta H\Omega + \Omega\Gamma M = O\Theta\Gamma + OHM,$$

et $\Xi\Pi\Gamma + \Lambda A\Pi\Xi = \Lambda A\Gamma = \Xi\Pi\Gamma + N\Theta\Pi$ propter ea, quae in prop. XLIII demonstrata sunt [u. supra p. 258, 2], erit etiam $\Xi\Pi\Gamma + N\Theta\Pi = O\Theta\Gamma + OMH$. auferatur, qui communis est, triangulus $\Theta O\Gamma$; erit igitur, qui relinquitur, triangulus $\Xi ON = HOM$. et $N\Xi$, MH parallelae sunt; ergo $NO = OH$.

Ad prop. XLVIII.

Huius quoque propositionis casus eodem modo se habent atque ii, quos in prop. XLVII in figura hyperbolae explicauimus.

Ad prop. XLIX.

Erit igitur $K\Lambda N = \Delta\Lambda\Pi\Gamma$. est autem $\angle\, \Delta\Lambda\Pi = \angle\, K\Lambda N$; itaque erit

$$K\Lambda \times \Lambda N = 2\Lambda\Delta \times \Delta\Gamma \text{ I p. 148, 3—6]}$$

seorsum enim describantur triangulus $K\Lambda N$ et



parallelogrammum $\Delta\Lambda\Pi\Gamma$. et quoniam est $K\Lambda N = \Delta\Pi$, per N rectae ΛK parallela ducatur NP, per K autem rectae ΛN parallela KP; parallelogrammum igitur est ΛP et $= 2K\Lambda N$ [Eucl. I, 34]; quare etiam $\Lambda P = 2\Delta\Pi$. iam $\Delta\Gamma$, $\Lambda\Pi$ ad Σ, T producantur, et ponatur $\Gamma\Sigma = \Delta\Gamma$,

Figura est codicis W, nisi quod ibi ducta est ΛP; pro Π hab. K; K corr. m. rec. ex M.

ληλόγραμμον. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ *ΚΛΝ* τρίγωνον τῷ *ΔΠ* παραλληλογράμμῳ, ἤχθω διὰ τοῦ *Ν* τῇ *ΛΚ* παράλληλος ἡ *ΝΡ*, διὰ δὲ τοῦ *Κ* τῇ *ΛΝ* ἡ *ΚΡ*· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ *ΛΡ* καὶ διπλάσιον τοῦ *ΚΛΝ* τριγώνου· ὥστε καὶ τοῦ *ΔΠ* παραλληλογράμμου. ἐκβεβλήσθωσαν δὴ αἱ *ΔΓ*, *ΛΠ* ἐπὶ τὰ *Σ*, *Τ*, καὶ κείσθω τῇ *ΔΓ* ἴση ἡ *ΓΣ*, τῇ δὲ *ΛΠ* ἡ *ΠΤ*, καὶ ἐπεζεύχθω ἡ *ΣΤ*· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ *ΔΤ* διπλάσιον τοῦ *ΔΠ*· ὥστε ἴσον τὸ *ΛΡ* τῷ *ΛΣ*. ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον διὰ τὸ τὰς πρὸς τῷ *Λ* γωνίας κατὰ κορυφὴν οὔσας ἴσας εἶναι· τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ περὶ τὰς ἴσας γωνίας πλευραί· ἔστιν ἄρα, ὡς ἡ *ΚΛ* πρὸς *ΛΤ*, τουτέστι πρὸς *ΔΣ*, ἡ *ΔΛ* πρὸς *ΛΝ*, καὶ τὸ ὑπὸ *ΚΛΝ* ἴσον ἐστὶ τῷ ὑπὸ *ΛΔΣ*. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ *ΔΣ* τῆς *ΔΓ*, τὸ ὑπὸ *ΚΛΝ* διπλάσιόν ἐστι τοῦ *ΛΔΓ*.

ἐὰν δὲ ἡ μὲν *ΔΓ* τῇ *ΛΠ* ἐστι παράλληλος, ἡ δὲ *ΓΠ* τῇ *ΛΔ* μή ἐστι παράλληλος, τραπέζιον μὲν δηλονότι ἐστὶ τὸ *ΔΓΠΛ*, καὶ οὕτως δέ φημι, ὅτι τὸ ὑπο *ΚΛΝ* ἴσον ἐστὶ τῷ ὑπὸ *ΔΛ* καὶ συναμφοτέρου τῆς *ΓΔ*, *ΛΠ*. ἐὰν γὰρ τὸ μὲν *ΛΡ* ἀναπληρωθῇ, ὡς προείρηται, ἐκβληθῶσι δὲ καὶ αἱ *ΔΓ*, *ΛΠ*, καὶ τεθῇ τῇ μὲν *ΛΠ* ἴση ἡ *ΓΣ*, τῇ δὲ *ΔΓ* ἡ *ΠΤ*, καὶ ἐπιζευχθῇ ἡ *ΣΤ*, παραλληλόγραμμον ἔσται τὸ *ΔΤ* διπλάσιον τοῦ *ΔΠ*, καὶ ἡ ἀπόδειξις ἡ αὐτὴ ἁρμόσει. χρησιμεύσει δὲ τοῦτο εἰς τὸ ἑξῆς.

Εἰς τὸ ν'.

Αἱ πτώσεις τούτου τοῦ θεωρήματος ὡσαύτως ἔχουσι ταῖς τοῦ μγ', ὁμοίως δὲ καὶ ἐπὶ τοῦ να'.

1. ἐστίν W. τρίγωνον] om. p. 2. *ΔΠ*] *ΛΠ* Wp, corr. Comm. 4. ἐστίν W. 5. *ΚΛΝ*] *Λ* supra scr. m. 1 W.

$\Pi T = \Lambda \Pi$, ducaturque ΣT; ΔT igitur parallelogrammum est et $= 2\, \Delta \Pi$ [Eucl. VI, 1]; quare $\Delta P = \Delta \Sigma$. uerum etiam aequiangula sunt, quia anguli ad Λ aequales sunt ad uerticem inter se positi; in parallelogrammis autem aequalibus et aequiangulis latera aequales angulos comprehendentia in contraria proportione sunt [Eucl. VI, 14]; itaque

$$K\Lambda : \Lambda T = \Delta \Lambda : \Lambda N = K\Lambda : \Delta \Sigma$$

et $K\Lambda \times \Lambda N = \Lambda \Delta \times \Delta \Sigma$. et quoniam $\Delta \Sigma = 2\, \Delta \Gamma$, erit $K\Lambda \times \Lambda N = 2\, \Lambda \Delta \times \Delta \Gamma$.

sin $\Delta \Gamma$ rectae $\Lambda \Pi$ parallela est, $\Gamma \Pi$ autem rectae $\Lambda \Delta$ non parallela, trapezium adparet esse $\Delta \Gamma \Pi \Lambda$, sed sic quoque dico, esse

$$K\Lambda \times \Lambda N = \Delta \Lambda \times (\Gamma \Delta + \Lambda \Pi).$$

nam si ΔP expletur, sicut antea dictum est, et $\Delta \Gamma$, $\Lambda \Pi$ producuntur, poniturque $\Gamma \Sigma = \Lambda \Pi$, $\Pi T = \Delta \Gamma$, et ducitur ΣT, ΔT parallelogrammum erit et $= 2\, \Delta \Pi$, et eadem ualebit demonstratio. hoc uero in sequentibus [I p. 152, 14] utile erit.

Ad prop. L.

Casus huius propositionis eodem modo se habent atque in prop. XLIII, et similiter etiam in prop. LI.

---

6. $\Delta \Gamma$, $\Lambda \Pi$] e corr. p; $\Delta \Lambda$, $\Gamma \Pi$ W. 7. $\Gamma \Sigma$] p?, ΓE W. δέ] ΔE W. $\Lambda \Pi$ ἡ] e corr. p. 8. ἐστίν W. 9. τό] τ$\overset{ω}{ο}$ p. ἔστιν W. 14. τουτέστιν W. 15. ἐστίν W. $\Delta \Sigma$] $\Lambda \Sigma$ Wp, corr. Comm. 16. $K\Lambda N$] $K\Lambda H$ p. ἐστι] ἐστιν, ι in ras., W. $\Lambda \Delta \Gamma$] $\Lambda A \Gamma$ Wp, corr. Comm. 17. ἐστιν W. ἡ — 18. παράλληλος] om. p. 18. $\Lambda \Delta$] ΛA W, corr. Halley; *dl* Comm. ἐστιν W. τραπέζειον W. 19. ἐστίν W. $\Delta \Gamma \Pi \Lambda$] $A \Gamma \Pi \Lambda$ Wp, corr. Comm. οὕτω p. 20. ἐστίν W. 21. ἐάν — 22. $\Lambda \Pi$] om. p. 22. ἐκβληθῶσιν W. $\Delta \Gamma$] corr. ex Δ m. 1 W. 23. $\Gamma \Sigma$] ΓO Wp, corr. Comm. 28. ἔχουσιν W.

Εἰς τὸν ἐπίλογον.

Τὴν ἐκ τῆς γενέσεως διάμετρον λέγει τὴν γεναμένην ἐν τῷ κώνῳ κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου· ταύτην δὲ καὶ ἀρχικὴν διάμετρον λέγει. καί φησιν, ὅτι πάντα τὰ δεδειγμένα συμπτώματα τῶν τομῶν ἐν τοῖς προειρημένοις θεωρήμασιν ὑποθεμένων ἡμῶν τὰς ἀρχικὰς διαμέτρους συμβαίνειν δύνανται καὶ τῶν ἄλλων πασῶν διαμέτρων ὑποτιθεμένων.

Εἰς τὸ νδʹ.

Καὶ ἀνεστάτω ἀπὸ τῆς *AB* ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ ἐν αὐτῷ περὶ τὴν *AB* γεγράφθω κύκλος ὁ *AEBZ*, ὥστε τὸ τμῆμα τῆς διαμέτρου τοῦ κύκλου τὸ ἐν τῷ *AEB* τμήματι πρὸς τὸ τμῆμα τῆς διαμέτρου το ἐν τῷ *AZB* τμήματι μὴ μείζονα λόγον ἔχειν τοῦ ὃν ἔχει ἡ *AB* πρὸς *ΒΓ*] ἔστωσαν δύο εὐθεῖαι αἱ *AB*, *ΒΓ*, καὶ δέον ἔστω περὶ τὴν *AB* κύκλον γράψαι, ὥστε τὴν διάμετρον αὐτοῦ τέμνεσθαι ὑπὸ τῆς *AB* οὕτως, ὥστε τὸ πρὸς τῷ *Γ* μέρος αὐτῆς πρὸς τὸ λοιπὸν μὴ μείζονα λόγον ἔχειν τοῦ τῆς *AB* πρὸς *ΒΓ*.

ὑποκείσθω μὲν νῦν τὸν αὐτόν, καὶ τετμήσθω ἡ *AB* δίχα κατὰ τὸ *Δ*, καὶ δι' αὐτοῦ πρὸς ὀρθὰς τῇ *AB* ἤχθω ἡ *ΕΔΖ*, καὶ γεγονέτω, ὡς ἡ *AB* πρὸς

---

3. γεναμένην] W, γενομένην p. 5. διάμετρον] p, m. rec. W, καὶ ἄμετρον m. 1 W. 9. ὑποτιθεμένων] scripsi, ὑποθεμένων Wp. 14. τοῦ] addidi, om. Wp. 15. τό (alt.)] τά Wp, corr. Halley. 16. *AZB*] *ABZ* Wp, corr. Comm. μή] om. Wp, corr. Comm. 20. τῷ] scripsi, τό Wp. 21. *AB*] *B* e corr. p. 22. μὲν νῦν] v, μενιω W (μὲν οὖν?), με νῦν p. αὐτὸν ἔχειν Halley cum Comm.

Ad epilogum [I p. 158, 1—15].

Diametrum originalem uocat [I p. 158, 2] sectionem in cono factam communem plani secantis trianguli que per axem positi; hanc autem etiam diametrum principalem uocat [I p. 158, 14]. et dicit, omnes proprietates sectionum, quae in propositionibus praecedentibus demonstratae sint supponentibus nobis diametros originales, etiam omnibus aliis diametris suppositis euenire posse.

Ad prop. LIV.

Et in AB planum ad planum subiacens perpendiculare erigatur, et in eo circum AB circulus describatur $AEBZ$, ita ut pars diametri circuli in segmento AEB posita ad partem diametri in AZB positam maiorem rationem non habeat quam $AB : B\Gamma$ I p. 166, 24 — 168, 2] sint duae rectae AB, $B\Gamma$, et oporteat circum AB circulum describere, ita ut diametrus eius ab AB sic secetur, ut pars eius ad Γ posita ad reliquam rationem habeat non maiorem quam $AB : B\Gamma$.



supponatur nunc eandem habere, et AB in duas partes aequales secetur in Δ, et per id ad AB perpen-

In fig. E m. rec. W, pro B hab. E e corr.

ΒΓ, ἡ ΕΔ πρὸς ΔΖ, καὶ δίχα τετμήσθω ἡ ΕΖ· δῆλον δή, ὅτι, εἰ μὲν ἡ ΑΒ τῇ ΒΓ ἐστιν ἴση καὶ ἡ ΕΔ τῇ ΔΖ, διχοτομία ἔσται τῆς ΕΖ τὸ Δ, εἰ δὲ ἡ ΑΒ τῆς ΒΓ μείζων καὶ ἡ ΕΔ τῆς ΔΖ, ἡ διχοτομία κατωτέρω ἐστὶ τοῦ Δ, εἰ δὲ ἡ ΑΒ τῆς ΒΓ ἐλάσσων, ἀνωτέρω.

ἔστω δὲ νῦν τέως κατωτέρω ὡς τὸ Η, καὶ κέντρῳ τῷ Η διαστήματι τῷ ΗΖ κύκλος γεγράφθω· δεῖ δὴ διὰ τῶν Α, Β σημείων ἥξειν ἢ ἐσωτέρω ἢ ἐξωτέρω. καὶ εἰ μὲν διὰ τῶν Α, Β σημείων ἔρχοιτο, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· ὑπερπιπτέτω δὲ τὰ Α, Β, καὶ ἐκβληθεῖσα ἐφ' ἑκάτερα ἡ ΑΒ συμπιπτέτω τῇ περιφερείᾳ κατὰ τὰ Θ, Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΘ, ΘΕ, ΕΚ, ΚΖ, καὶ ἤχθω διὰ τοῦ Β τῇ μὲν ΖΚ παράλληλος ἡ ΜΒ, τῇ δὲ ΚΕ ἡ ΒΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΑ, ΑΛ· ἔσονται δὴ καὶ αὗται παράλληλοι ταῖς ΖΘ, ΘΕ διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΑΔ τῇ ΔΒ, τὴν δὲ ΔΘ τῇ ΔΚ καὶ πρὸς ὀρθὰς εἶναι τὴν ΖΔΕ τῇ ΘΚ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Κ γωνία, καὶ παράλληλοι αἱ ΜΒΛ ταῖς ΖΚΕ, ὀρθὴ ἄρα καὶ ἡ πρὸς τῷ Β· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ πρὸς τῷ Α. ὥστε ὁ περὶ τὴν ΜΛ κύκλος γραφόμενος ἥξει διὰ τῶν Α, Β. γεγράφθω ὡς ὁ ΜΑΛΒ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΜΒ τῇ ΖΚ, ἔστιν, ὡς ἡ ΖΔ πρὸς ΔΜ, ἡ ΚΔ πρὸς ΔΒ. ὁμοίως δὴ καί, ὡς ἡ ΚΔ πρὸς ΔΒ, ἡ ΕΔ πρὸς ΔΛ. καὶ

---

3. δέ] δή p. 4. ΕΔ] ΣΔ Wp, corr. Comm. 5. ἐστίν, -ίν in ras., W. 8. τῷ (pr.)] p, τό W. 9. ἥξειν — 10. σημείων] om. p. 9. ἥξειν] ἥξει W, corr. Comm.; fort. ἥξει retinendum et pro δεῖ lin. 8 scrib. ἤτοι. 17. τῇ] p, τήν W. ΔΒ] ΔΕ Wp, corr. Comm. δέ] p, ΔΕ W. 18. ΖΔΕ] scripsi, ΔΖΕ Wp, ΕΔΖ Halley cum Comm. 19. ΜΒΛ] scripsi, ΜΒΔ Wp, ΜΒ, ΒΛ Halley cum Comm. 22. Β] Γ

dicularis ducatur $E\Delta Z$, et fiat $E\Delta : \Delta Z = AB : B\Gamma$, seceturque EZ in duas partes aequales; manifestum igitur, si $AB = B\Gamma$ et $E\Delta = \Delta Z$, punctum Δ esse medium rectae EZ, sin $AB > B\Gamma$ et $E\Delta > \Delta Z$, punctum medium infra Δ positum esse, sin $AB < B\Gamma$, supra Δ.

nunc autem infra sit positum ut H, et centro H radio HZ circulus describatur; is igitur aut per puncta A, B ueniet aut intra ea aut extra. iam si per puncta A, B uenerit, effectum erit, quod propositum est; cadat uero extra A, B, et AB ad utramque partem producta cum ambitu in Θ, K concurrat, ducanturque $Z\Theta$, ΘE, EK, KZ, per B autem rectae ZK parallela ducatur MB, rectae KE autem parallela $B\Lambda$, ducanturque MA, $A\Lambda$; eae igitur et ipsae rectis $Z\Theta$, ΘE parallelae erunt, quia $A\Delta = \Delta B$, $\Delta\Theta = \Delta K$, et $Z\Delta E$ ad ΘK perpendicularis [Eucl. I, 4]. et quoniam angulus ad K positus rectus est, et MB, $B\Lambda$ rectis ZK, KE parallelae, erit etiam angulus ad B positus rectus; eadem de causa etiam angulus ad A positus rectus est. quare circulus circum $M\Lambda$ descriptus per A, B ueniet [Eucl. III, 31]. describatur ut $MA\Lambda B$. et quoniam MB, ZK parallelae sunt, erit [Eucl. VI, 4] $Z\Delta : \Delta M = K\Delta : \Delta B$. iam eodem modo erit $K\Delta : \Delta B = E\Delta : \Delta\Lambda$.[1]) et permutando $E\Delta : \Delta Z = \Lambda\Delta : \Delta M = AB : B\Gamma$.

1) Post $\Delta\Lambda$ lin. 25 excidisse uidentur haec fere: ἔστιν ἄρα, ὡς ἡ $Z\Delta$ πρὸς ΔM, ἡ $E\Delta$ πρὸς $\Delta\Lambda$.

Wp, corr. Comm. 23. $MA\Lambda B$] $MAAB$ Wp, corr. Comm. 25. ΔB] B e corr. m. 1 W. $\Delta\Lambda$] $A\Lambda$ Wp, corr. Comm.

ἐναλλάξ, ὡς ἡ $E\varDelta$ πρὸς $\varDelta Z$, τουτέστιν ἡ AB πρὸς $B\Gamma$, ἡ $\varLambda\varDelta$ πρὸς $\varDelta M$.

ὁμοίως δέ, κἂν ὁ γραφόμενος περὶ τὴν ZE κύκλος τέμνοι τὴν AB, τὸ αὐτὸ δειχθήσεται.

Εἰς τὸ νε'.

Καὶ ἐπὶ τῆς $\varLambda\varDelta$ γεγράφθω ἡμικύκλιον τὸ $\varLambda Z\varDelta$, καὶ ἤχθω τις εἰς τὸ ἡμικύκλιον παράλληλος τῇ $\varLambda\Theta$ ἡ ZH ποιοῦσα τὸν τοῦ ἀπὸ ZH πρὸς τὸ ὑπὸ $\varDelta H\varLambda$ λόγον τὸν αὐτὸν τῷ τῆς $\Gamma\varLambda$ πρὸς τὴν διπλασίαν τῆς $\varLambda\varDelta$] ἔστω ἡμικύκλιον τὸ $AB\Gamma$ ἐπὶ διαμέτρου τῆς $A\Gamma$, ὁ δὲ δοθεὶς λόγος ὁ τῆς EZ πρὸς ZH, καὶ δέον ἔστω ποιῆσαι τὰ προκείμενα.

κείσθω τῇ EZ ἴση ἡ $Z\Theta$, καὶ τετμήσθω ἡ ΘH δίχα κατὰ τὸ K, καὶ ἤχθω ἐν τῷ ἡμικυκλίῳ τυχοῦσα εὐθεῖα ἡ ΓB ἐν γωνίᾳ τῇ ὑπὸ $A\Gamma B$, καὶ ἀπὸ τοῦ $\varLambda$ κέντρου ἤχθω ἐπ' αὐτὴν κάθετος ἡ $\varLambda\Sigma$ καὶ ἐκβληθεῖσα συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ N, καὶ διὰ τοῦ N τῇ ΓB παράλληλος ἤχθω ἡ NM· ἐφάψεται ἄρα τοῦ κύκλου. καὶ πεποιήσθω, ὡς ἡ $Z\Theta$ πρὸς ΘK, ἡ $M\Xi$ πρὸς ΞN, καὶ κείσθω τῇ ΞN ἴση ἡ NO, καὶ ἐπεζεύχθωσαν αἱ $\varLambda\Xi$, $\varLambda O$ τέμνουσαι τὸ ἡμικύκλιον κατὰ τὰ Π, P, καὶ ἐπεζεύχθω ἡ $\Pi P\varLambda$.

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΞN τῇ NO, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ $N\varLambda$, ἴση ἄρα καὶ ἡ $\varLambda O$ τῇ $\varLambda\Xi$. ἔστι δὲ καὶ ἡ $\varLambda\Pi$ τῇ $\varLambda P$· καὶ λοιπὴ ἄρα ἡ ΠO τῇ $P\Xi$

1. $\varDelta Z$, τουτέστιν] scripsi, $\varDelta ZT$ οὔτε ἐστίν Wp. 2. $\varLambda\varDelta$] $A\varDelta$ Wp, corr. Comm. 4. τέμνοι] Wp. 5. νε'] in ras. plur. litt. W. 9. τῷ] in ras. m. 1 W. 15. $A\Gamma B$] e corr. p. 16. $\varLambda\Sigma$] scripsi, $\varLambda E$ Wp. 22. P, Π Comm. 23. NO] $N\Theta$ Wp, corr. Comm. 24. $N\varLambda$] $M\varLambda$ Wp, corr. Comm. ἔστιν W. 25. τῇ (pr.)] ἴση τῇ Halley.

et similiter etiam, si circulus circum ZE descriptus rectam AB secat, idem demonstrabitur.

Ad prop. LV.

Et in $A\Delta$ semicirculus describatur $AZ\Delta$, ad semicirculum autem recta ducatur ZH rectae $A\Theta$ parallela, quae faciat

$ZH^2 : \Delta H \times HA = \Gamma A : 2 A\Delta$ I p. 172, 8—12] sit $AB\Gamma$ semicirculus in diametro $A\Gamma$, data autem ratio $EZ : ZH$, et oporteat efficere, quod propositum est.

ponatur $Z\Theta = EZ$, et ΘH in K in duas partes aequales secetur, ducaturque in semicirculo recta aliqua ΓB in angulo $A\Gamma B$, et ab Λ centro ad eam



perpendicularis ducatur $\Lambda\Sigma$ productaque cum ambitu in N concurrat, et per N rectae ΓB parallela ducatur NM; ea igitur circulum continget [Eucl. III, 16 coroll.]. et fiat $M\Xi : \Xi N = Z\Theta : \Theta K$, ponaturque $NO = \Xi N$, et ducantur $\Lambda\Xi$, ΛO semicirculum in Π, P secantes, ducaturque $\Pi P \Delta$.

quoniam igitur $\Xi N = NO$, communis autem et perpendicularis $N\Lambda$, erit etiam $\Lambda O = \Lambda\Xi$ [Eucl. I, 4]. uerum etiam $\Lambda\Pi = \Lambda P$; quare etiam reliqua $\Pi O = P\Xi$.

In fig. pro Σ hab. E W, pro Π hab. H (hoc corr. w).

ἐστιν ἴση. παράλληλος ἄρα ἐστὶν ἡ *ΠΡΔ* τῇ *ΜΟ*. καί ἐστιν, ὡς ἡ *ΖΘ* πρὸς *ΘΚ*, ἡ *ΜΞ* πρὸς *ΝΞ*· ὡς δὲ ἡ *ΘΚ* πρὸς *ΘΗ*, ἡ *ΝΞ* πρὸς *ΞΟ*· δι' ἴσου ἄρα, ὡς ἡ *ΘΖ* πρὸς *ΘΗ*, ἡ *ΜΞ* πρὸς *ΞΟ*· ἀνάπαλιν, ὡς ἡ *ΗΘ* πρὸς *ΘΖ*, ἡ *ΟΞ* πρὸς *ΞΜ*· συνθέντι, ὡς ἡ *ΗΖ* πρὸς *ΖΘ*, τουτέστι πρὸς *ΖΕ*, ἡ *ΟΜ* πρὸς *ΜΞ*, τουτέστιν ἡ *ΠΔ* πρὸς *ΔΡ*. ὡς δὲ ἡ *ΠΔ* πρὸς *ΔΡ*, τὸ ὑπὸ *ΠΔΡ* πρὸς τὸ ἀπὸ *ΔΡ*, ἴσον δὲ τὸ ὑπὸ *ΠΔΡ* τῷ ὑπὸ *ΑΔΓ*· ὡς ἄρα ἡ *ΗΖ* πρὸς *ΖΕ*, τὸ ὑπὸ *ΑΔΓ* πρὸς τὸ ἀπὸ *ΔΡ*. ἀνάπαλιν ἄρα, ὡς ἡ *ΕΖ* πρὸς *ΖΗ*, τὸ ἀπὸ *ΔΡ* πρὸς τὸ ὑπὸ *ΑΔΓ*.

Εἰς τὸ νη'.

Καὶ ἐπὶ τῆς *ΑΕ* γεγράφθω ἡμικύκλιον τὸ *ΑΕΖ*, καὶ τῇ *ΑΔ* παράλληλος ἤχθω ἐν αὐτῷ ἡ *ΖΗ* λόγον ποιοῦσα τὸν τοῦ ἀπὸ *ΖΗ* πρὸς τὸ ὑπὸ *ΑΗΕ* τὸν τῆς *ΓΑ* πρὸς τὴν διπλασίαν τῆς *ΑΕ*] ἔστω ἡμικύκλιον τὸ *ΑΒΓ* καὶ ἐν αὐτῷ εὐθεῖά τις ἡ *ΑΒ*, καὶ κείσθωσαν δύο εὐθεῖαι ἄνισοι αἱ *ΔΕ*, *ΕΖ*, καὶ ἐκβεβλήσθω ἡ *ΕΖ* ἐπὶ τὸ *Η*, καὶ τῇ *ΔΕ* ἴση κείσθω ἡ *ΖΗ*, καὶ τετμήσθω ὅλη ἡ *ΕΗ* δίχα κατὰ τὸ *Θ*, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ *Κ*, καὶ ἀπ' αὐτοῦ κάθετος ἐπὶ τὴν *ΑΒ* ἤχθω καὶ συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ *Λ*, καὶ διὰ τοῦ *Λ* τῇ *ΑΒ* παράλληλος ἤχθω ἡ *ΛΜ*, καὶ ἐκβλη-

---

1. ἡ — 2. ἐστιν] om. Wp, corr. Halley cum Comm. 3. *ΘΗ*] *ΘΝ* p. 4. *ΘΗ*] *ΘΝ* p. *ΞΟ*] corr. ex *ΞΑ* W. ἀνάπαλιν] διὸ πάλιν Wp, corr. Comm. 5. *ΗΘ*] corr. ex *ΘΖ* m. 1 W. *ΘΖ*] *Ζ* in ras. W. *ΟΞ*] *Ο* in ras. W. 6. τουτέστιν W. *ΟΜ*] *ΘΜ* Wp, corr. Comm. 11. *ΑΔΓ*] *ΔΑΓ* Wp, corr. Comm. 12. νη'] om. Wp. 15. ποιοῦσα] ποι- in ras. W. 16. τὸν τῆς] τὸν αὐτὸν τῷ τῆς Halley cum Comm. 19. τό] p, τῷ W. 22. τό] p, τῷ W. 23. *Λ*] e corr. m. 2 W.

itaque $\Pi P\Delta$ rectae MO parallela[1]) est [Eucl. VI, 2]. et est $Z\Theta : \Theta K = M\Xi : N\Xi$; uerum $\Theta K : \Theta H = N\Xi : \Xi O$; ex aequo igitur $\Theta Z : \Theta H = M\Xi : \Xi O$; e contrario $H\Theta : \Theta Z = O\Xi : \Xi M$; componendo

$$HZ : Z\Theta = OM : M\Xi = HZ : ZE = \Pi\Delta : \Delta P.$$

uerum $\Pi\Delta : \Delta P = \Pi\Delta \times \Delta P : \Delta P^2$, et

$$\Pi\Delta \times \Delta P = A\Delta \times \Delta\Gamma \text{ [Eucl. III, 36].}$$

itaque $HZ : ZE = A\Delta \times \Delta\Gamma : \Delta P^2$. ergo e contrario $EZ : ZH = \Delta P^2 : A\Delta \times \Delta\Gamma$.

Ad prop. LVIII.

In AE autem semicirculus describatur AEZ, et in eo rectae $A\Delta$ parallela ducatur ZH, quae



efficiat $ZH^2 : AH \times HE = \Gamma A : 2AE$ I p. 182, 19—22] sit $AB\Gamma$ semicirculus et in eo recta aliqua

1) Fort. post MO lin. 1 praeterea addendum: ὥστε καὶ τῇ $B\Gamma$.

In fig. multae litterae renouatae in W; pro N hab. A, pro Π autem M, pro O Θ, pro M N; K et P om.

θεῖσα ἡ ΚΛ συμβαλλέτω τῇ ΛΜ κατὰ τὸ Μ, καὶ πεποιήσθω, ὡς ἡ ΘΖ πρὸς ΖΗ, ἡ ΛΜ πρὸς ΜΝ, καὶ τῇ ΛΝ ἴση ἔστω ἡ ΛΞ, καὶ ἐπεζεύχθωσαν αἱ ΝΚ, ΚΞ καὶ ἐκβεβλήσθωσαν, καὶ ἀναπληρωθεὶς ὁ κύκλος τεμνέτω αὐτὰς κατὰ τὰ Π, Ο, καὶ ἐπεζεύχθω ἡ ΟΡΠ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΖΘ πρὸς ΖΗ, ἡ ΛΜ πρὸς ΜΝ, συνθέντι, ὡς ἡ ΘΗ πρὸς ΗΖ, ἡ ΛΝ πρὸς ΝΜ· ἀνάπαλιν, ὡς η ΖΗ πρὸς ΗΘ, ἡ ΝΜ πρὸς ΝΛ, ὡς δὲ ἡ ΖΗ πρὸς ΗΕ, ἡ ΜΝ πρὸς ΝΞ· διελόντι, ὡς ἡ ΖΗ πρὸς ΖΕ, ἡ ΝΜ πρὸς ΜΞ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΝΛ τῇ ΛΞ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΛΚ, ἴση ἄρα καὶ ἡ ΚΝ τῇ ΚΞ. ἔστι δὲ καὶ ἡ ΚΟ τῇ ΚΠ ἴση· παράλληλος ἄρα ἡ ΝΞ τῇ ΟΠ. ὅμοιον ἄρα τὸ ΚΜΝ τρίγωνον τῷ ΟΚΡ τριγώνῳ καὶ τὸ ΚΜΞ τῷ ΠΡΚ. ἔστιν ἄρα, ὡς ἡ ΚΜ πρὸς ΚΡ, ἡ ΜΝ πρὸς ΡΟ. ἀλλὰ καί, ὡς αὐτὴ ἡ ΚΜ πρὸς ΚΡ, ἡ ΜΞ πρὸς ΠΡ· καὶ ὡς ἄρα ἡ ΝΜ πρὸς ΡΟ, ἡ ΜΞ πρὸς ΠΡ· καὶ ἐναλλάξ, ὡς ἡ ΝΜ πρὸς ΜΞ, ἡ ΟΡ πρὸς ΡΠ. ἀλλ' ὡς μὲν ἡ ΝΜ πρὸς ΜΞ, ἡ ΗΖ πρὸς ΖΕ, τουτέστιν ἡ ΔΕ πρὸς ΕΖ, ὡς δὲ ἡ ΟΡ πρὸς ΡΠ, τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΟΡΠ· καὶ ὡς ἄρα ἡ ΔΕ πρὸς ΕΖ, τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΟΡΠ. ἴσον δὲ τὸ ὑπὸ ΟΡΠ τῷ ὑπὸ ΑΡΓ. ὡς ἄρα ἡ ΔΕ πρὸς ΕΖ, τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΑΡΓ.

---

3. ἔστω] -ω in ras. W. 5. *Ο, Π* Halley cum Comm. 10. δέ] ἄρα? 12. *ΛΞ*] *ΛΖ* Wp, corr. Comm. 13. ἔστιν W. 15. *ΚΜΝ*] *ΚΜ* Wp, corr. Comm. τῷ] corr. ex τό W. 17. αὐτή] ἡ αὐτή? 18. *ΝΜ*] *ΗΜ* Wp, corr. Halley, *mn* Comm. 20. *ΗΖ*] p, Ζ W. 25. *ΑΡΓ*] *ΑΡΟ* Wp, corr. Comm.

$\varDelta B$, ponanturque duae rectae inaequales $\varDelta E$, EZ, et EZ ad H producatur, ponaturque $ZH = \varDelta E$, et tota EH in Θ in duas partes aequales secetur, centrum autem circuli sumatur K, et a K ad AB perpendicularis ducatur et cum ambitu in $\varLambda$ concurrat, per $\varLambda$ autem rectae AB parallela ducatur $\varLambda M$, productaque $K\varLambda$ cum $\varLambda M$ in M concurrat, et fiat

$$\Theta Z : ZH = \varLambda M : MN,$$

sitque $\varLambda \Xi = \varLambda N$, ducanturque NK, $K\Xi$ et producantur, circulusque expletus eas in $\varPi$, O secet, ducaturque $OP\varPi$.

quoniam igitur $Z\Theta : ZH = \varLambda M : MN$, componendo est $\Theta H : HZ = \varLambda N : NM$; e contrario

$$ZH : H\Theta = NM : N\varLambda$$

et $ZH : HE = MN : N\Xi$; dirimendo

$$ZH : ZE = NM : M\Xi.$$

et quoniam $N\varLambda = \varLambda \Xi$, communis autem et perpendicularis $\varLambda K$, erit etiam [Eucl. I, 4] $KN = K\Xi$. uerum etiam $KO = K\varPi$; parallelae igitur sunt $N\Xi$, $O\varPi$. itaque similes sunt trianguli KMN, OKP et $KM\Xi$, $\varPi PK$ [Eucl. I, 29; I, 15]. quare

$$KM : KP = MN : PO \text{ [Eucl. VI, 4].}$$

est autem etiam $KM : KP = M\Xi : \varPi P$ [ib.]; quare etiam $NM : PO = M\Xi : \varPi P$, et permutando

$$NM : M\Xi = OP : P\varPi.$$

uerum $NM : M\Xi = HZ : ZE = \varDelta E : EZ$ et

$$OP : P\varPi = OP^2 : OP \times P\varPi;$$

quare etiam $\varDelta E : EZ = OP^2 : OP \times P\varPi$. est autem $OP \times P\varPi = AP \times P\Gamma$ [Eucl. III, 35]. ergo

$$\varDelta E : EZ = OP^2 : AP \times P\Gamma.$$

Εἴρηται μὲν ἐν τοῖς μετὰ τὸ ι' θεώρημα σχολίοις ὁ σκοπὸς τῶν $\overline{ιγ}$ πρώτων θεωρημάτων καὶ ἐν τοῖς εἰς τὸ ἑκκαιδέκατον ὁ τῶν ἑξῆς τριῶν, δεῖ δὲ εἰδέναι, ὅτι ἐν μὲν τῷ ιζ' φησίν, ὅτι ἡ διὰ τῆς κορυφῆς παρὰ τεταγμένως κατηγμένην ἀγομένη ἐκτὸς πίπτει, ἐν δὲ τῷ ιη' φησίν, ὅτι ἡ παράλληλος τῇ ὁπωσοῦν ἐφαπτομένῃ ἐντὸς τῆς τομῆς ἀγομένη τεμεῖ τὴν τομήν, ἐν τῷ ιθ', ὅτι ἡ ἀπό τινος σημείου τῆς διαμέτρου παρὰ τεταγμένως κατηγμένην συμπίπτει τῇ τομῇ, ἐν τῷ κ' καὶ κα' τὰς καταγομένας ζητεῖ τῶν τομῶν, ὅπως ἔχουσι πρὸς ἀλλήλας καὶ τὰ τῆς διαμέτρου ὑπ' αὐτῶν γινόμενα τμήματα, ἐν τῷ κβ' καὶ κγ' λέγει περὶ τῆς εὐθείας τῆς κατὰ δύο σημεῖα τῇ τομῇ συμπιπτούσης, ἐν τῷ κδ' καὶ κε' περὶ τῆς εὐθείας τῆς καθ' ἓν τῇ τομῇ συμπιπτούσης, τουτέστιν ἐφαπτομένης, ἐν τῷ κς' περὶ τῆς ἀγομένης παραλλήλου τῇ διαμέτρῳ τῆς παραβολῆς καὶ τῆς ὑπερβολῆς, ἐν τῷ κζ' περὶ τῆς τεμνούσης τὴν διάμετρον τῆς παραβολῆς, ὅτι κατ' ἀμφότερα μέρη συμπίπτει τῇ τομῇ, ἐν τῷ κη' περὶ τῆς ἀγομένης παραλλήλου τῇ ἐφαπτομένῃ μιᾶς τῶν ἀντικειμένων, ἐν τῷ κθ' περὶ τῆς διὰ τοῦ κέντρου τῶν ἀντικειμένων ἐκβαλλομένης, ἐν τῷ λ' φησιν, ὅτι διχοτομεῖται ἡ διὰ τοῦ κέντρου ἐκβαλλομένη τῆς ἐλλείψεως καὶ τῶν ἀντικειμένων, ἐν τῷ λα' φησίν, ὅτι ἐπὶ τῆς ὑπερβολῆς ἡ ἐφαπτομένη τὴν διάμετρον τέμνει μεταξὺ τῆς κορυφῆς καὶ τοῦ κέντρου, ἐν τῷ λβ' καὶ γ' καὶ δ' καὶ ε' καὶ ϛ' περὶ τῶν ἐφαπτομένων ποιεῖται τὸν λόγον, ἐν τῷ

---

1. τό] e corr. W. 7. ἐφαπτομένῃ] scripsi, ἐφησαπτομένῃ Wp, ἁπτομένῃ Halley (et ita debuit dici). τέμη p. 8. ιθ'] e corr. p. ὅτι] om. Wp, corr. Halley. 9. κατηγμένη Halley. 10. κα'] α e corr. p. τάς] om. p. 11.

In scholiis post prop. X [supra p. 214] dictum est, quid XIII primis theorematis sit propositum, et in scholiis ad prop. XVI [supra p. 222, 24 et p. 224], quid tribus sequentibus propositum, sciendum autem, in prop. XVII eum dicere, rectam per uerticem rectae ordinate ductae parallelam ductam extra cadere, in prop. XVIII autem dicit, rectam rectae quoquo modo tangenti intra sectionem parallelam ductam sectionem secare, in prop. XIX autem, rectam ab aliquo puncto diametri rectae ordinate ductae parallelam cum sectione concurrere, in propp. XX et XXI quaerit, quo modo rectae in sectionibus ordinate ductae inter se et ad partes diametri ab iis effectas se habeant, in propp. XXII et XXIII de recta loquitur, quae cum sectione in duobus punctis concurrit, in propp. XXIV—XXV de recta, quae cum sectione in uno puncto concurrit siue contingit, in prop. XXVI de recta diametro parabolae hyperbolaeque parallela ducta, in prop. XXVII rectam diametrum parabolae secantem utrimque cum sectione concurrere, in prop. XXVIII de recta, quae rectae alterutram oppositarum contingenti parallela ducitur, in prop. XXIX de recta per centrum oppositarum producta, in prop. XXX dicit, rectam per centrum ellipsis oppositarumque productam in duas partes aequales secari, in prop. XXXI dicit, in hyperbola rectam contingentem inter uerticem centrumque diametrum secare, in propp. XXXII, XXXIII, XXXIV, XXXV, XXXVI de

---

ἔχουσιν W. 17. *τεμνούσης*] p, *τεμούσης* W. 19. *τομῆ*] $\overset{\mu}{\tau o}$ p, *τό* W. 26. γ'] e corr. p.

λζʹ περὶ τῶν ἐφαπτομένων καὶ τῶν ἀπὸ τῆς ἁφῆς κατηγμένων τῆς ἐλλείψεως καὶ τῆς ὑπερβολῆς, ἐν τῷ ληʹ περὶ τῶν ἐφαπτομένων τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ὅπως ἔχουσι πρὸς τὴν δευτέραν διάμετρον, ἐν τῷ λθʹ καὶ μʹ περὶ τῶν αὐτῶν ποιεῖται τὸν λόγον τοὺς συγκειμένους ἐκ τούτων λόγους ἐπιζητῶν, ἐν τῷ μαʹ περὶ τῶν ἀναγραφομένων παραλληλογράμμων ἀπὸ τῆς κατηγμένης καὶ τῆς ἐκ τοῦ κέντρου τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ἐν τῷ μβʹ ἐπὶ τῆς παραβολῆς λέγει ἴσον εἶναι τὸ ὑπὸ τῆς ἐφαπτομένης καὶ τῆς κατηγμένης καταλαμβανόμενον τρίγωνον τῷ ἰσοϋψεῖ αὐτῷ παραλληλογράμμῳ, ἡμίσειαν δ' ἔχοντι βάσιν, ἐν τῷ μγʹ ἐπὶ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως ζητεῖ, πῶς ἔχουσι πρὸς ἄλληλα τὰ ὑπὸ τῶν ἐφαπτομένων καὶ τῶν κατηγμένων ἀπολαμβανόμενα τρίγωνα, ἐν τῷ μδʹ τὸ αὐτὸ ἐν ταῖς ἀντικειμέναις, ἐν τῷ μεʹ τὸ αὐτὸ ἐπὶ τῆς δευτέρας διαμέτρου τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ἐν τῷ μϛʹ περὶ τῶν μετὰ τὴν ἀρχικὴν διάμετρον τῆς παραβολῆς ἑτέρων, ἐν τῷ μζʹ περὶ τῶν ἑτέρων διαμέτρων τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ἐν τῷ μηʹ περὶ τῶν ἑτέρων διαμέτρων τῶν ἀντικειμένων, ἐν τῷ μθʹ περὶ τῶν παρ' ἃς δύνανται αἱ καταγόμεναι ἐπὶ τὰς ἑτέρας διαμέτρους τῆς παραβολῆς, ἐν τῷ νʹ περὶ τοῦ αὐτοῦ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ἐν τῷ ναʹ περὶ τοῦ αὐτοῦ τῶν ἀντικειμένων. ταῦτα εἰπὼν καὶ προσθεὶς τοῖς εἰρημένοις

4. ἔχουσιν W. 11. καταλαμβανόμενον] Halley, καταλαμβάνον Wp. 14. ἔχουσιν W. 17. ἐπί] e corr. p.

contingentibus loquitur, in prop. XXXVII de contingentibus et de rectis, quae a puncto contactus in ellipsi hyperbolaque ordinate ducuntur, in prop. XXXVIII de rectis hyperbolam ellipsimque contingentibus, quo modo ad alteram diametrum se habeant, in propp. XXXIX et XL de iisdem loquitur rationes ex iis compositas quaerens, in prop. XLI de parallelogrammis in recta ordinate ducta radioque hyperbolae ellipsisque descriptis, in prop. XLII in parabola dicit triangulum a contingenti et recta ordinate ducta comprehensum aequalem esse parallelogrammo, quod eandem altitudinem habeat, basim autem dimidiam, in prop. XLIII in hyperbola ellipsique quaerit, quo modo trianguli a contingentibus rectisque ordinate ductis abscisi inter se habeant, in prop. XLIV idem in oppositis, in prop. XLV idem in altera diametro hyperbolae ellipsisque, in prop. XLVI de ceteris diametris parabolae praeter principalem, in prop. XLVII de ceteris diametris hyperbolae ellipsisque, in prop. XLVIII de ceteris diametris oppositarum, in prop. XLIX de parametris ceterarum diametrorum parabolae, in prop. L de eodem in hyperbola ellipsique, in prop. LI de eodem in oppositis. his dictis et epilogo quodam dictis adiecto [I p. 158] in propp. LII et LIII problema demonstrat, quo modo fieri possit, ut in plano parabola describatur, in propp. LIV

---

19. ἀρχικήν] p, ἀρχήν W. 21. τῶν (alt.)] Halley, om. p et extr. lin. W.

ἐπίλογόν τινα ἐν τῷ νβ' καὶ νγ' δεικνύει πρόβλημα, ὡς δυνατὸν ἐν ἐπιπέδῳ γράψαι τὴν παραβολήν, ἐν τῷ νδ' καὶ νε' λέγει, πῶς δεῖ γράψαι τὴν ὑπερβολήν, ἐν τῷ νϛ' καὶ νζ' καὶ νη', πῶς δεῖ γράψαι τὴν ἔλλειψιν, ἐν τῷ νθ' λέγει, πῶς δεῖ γράφειν ἀντικειμένας, ἐν τῷ ξ' περὶ τῶν συζύγων ἀντικειμένων.

---

4. *καί*] bis (comp.) p. *νζ'*] *ζ* e corr. p. *νη'*] *η* e corr. p. In fine: *πεπλήρωται σὺν θεῷ τὸ ὑπόμνημα τοῦ ᾱ βιβλίου τῶν κωνικῶν* Wp.

et LV dicit, quo modo hyperbola describenda sit, in propp. LVI, LVII, LVIII, quo modo ellipsis describenda sit, in prop. LIX dicit, quo modo oppositae describendae sint, in prop. LX de oppositis coniugatis.

Εἰς τὸ δεύτερον.

Ἀρχόμενος τοῦ β' βιβλίου τῶν Κωνικῶν, ὦ φίλτατέ μοι Ἀνθέμιε, τοσοῦτον οἶμαι δεῖν προειπεῖν, ὅτι τοσαῦτα μόνα εἰς αὐτὸ γράφω, ὅσα ἂν μὴ ᾖ δυνατὸν διὰ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ νοηθῆναι.

Εἰς τὸ α'.

Τὸ πρῶτον θεώρημα πτῶσιν οὐκ ἔχει, εἰ μὴ ἄρα .... τοῦτο γὰρ τῇ καταγραφῇ διαφορὰν οὐ ποιεῖ· αἱ γὰρ ΔΓ, ΓΕ ἀσύμπτωτοί τέ εἰσι τῇ τομῇ καὶ αἱ αὐταὶ διαμένουσι κατὰ πᾶσαν διάμετρον καὶ ἐφαπτομένην.

Εἰς τὸ β'.

Τοῦτο τὸ θεώρημα πτῶσιν οὐκ ἔχει. ἡ μέντοι ΒΘ πάντως τεμεῖ τὴν τομὴν κατὰ δύο σημεῖα. ἐπεὶ γὰρ παράλληλός ἐστι τῇ ΓΔ, συμπεσεῖται τῇ ΓΘ· ὥστε πρότερον τῇ τομῇ συμπεσεῖται.

Εἰς τὸ ια'.

Ἔν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἄλλως δείκνυται.

---

1. Εὐτοκίου Ἀσκαλωνίτου εἰς τὸ δεύτερον (β' p) τῶν Ἀπολλωνίου κωνικῶν τῆς κατ' αὐτὸν ἐκδόσεως ὑπόμνημα Wp. 4. ὅσα] scripsi, ὡς Wp. μή] addidi, om. Wp. 8. Post ἄρα

In librum II.

Alterum librum Conicorum ordiens, Anthemie amicissime, hoc praemittendum censeo, me ea sola ad eum adnotare, quae ex iis, quae in librum primum scripta sint, non possint intellegi.

Ad prop. I.

Propositio prima casum non habet, nisi quod AB non semper axis est; hoc autem ad figuram nihil interest. nam $\Delta\Gamma$, ΓE asymptotae sunt sectionis et eaedem manent qualibet diametro contingentique sumpta.

Ad prop. II.

Haec propositio casum non habet. $B\Theta$ uero semper sectionem in duobus punctis secabit; nam quoniam rectae $\Gamma\Delta$ parallela est, cum $\Gamma\Theta$ concurret; quare prius cum sectione concurret.

Ad prop. XI.

In quibusdam codicibus haec propositio aliter demonstratur.

---

magnam lacunam hab. Wp; explenda sic fere: ὅτι ἡ AB οὐ πάντως ἄξων ἐστίν. γάρ] fort. scr. δέ. 9. εἰσιν Wp. τῇ] scripsi, ἐν τῇ Wp. αἱ] addidi, om. Wp. 10. διαμένουσιν W. 15. $\Gamma\Delta$] $E\Theta$ Wp, corr. Comm. 18. τισιν] p, τοῖς W.

Ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΒΓ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας ἡ ΒΕΔ, καὶ ἤχθω τις ἡ ΕΖ, ὡς ἔτυχεν, τέμνουσα τὰς ΔΒ, ΒΑ. λέγω, ὅτι συμπεσεῖται τῇ τομῇ.

εἰ γὰρ δυνατόν, μὴ συμπιπτέτω, καὶ διὰ τοῦ Β τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΒΗ. ἡ ΒΗ ἄρα διάμετρός ἐστι τῆς τομῆς. καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τῷ ἀπὸ ΒΗ ἴσον παραλληλόγραμμον ὑπερβάλλον εἴδει τετραγώνῳ καὶ ποιείτω τὸ ὑπὸ ΕΘΖ, καὶ ἐπεξεύχθω ἡ ΘΒ καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΒΗ παράλληλος ἤχθω ἡ ΚΑΔ. τὸ ἄρα ὑπὸ ΔΚΑ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΗ· ὥστε καὶ τῷ ὑπὸ ΕΘΖ· ὅπερ ἄτοπον, ἐπείπερ ἡ ΑΔ παράλληλός ἐστι τῇ ΕΘ. ἡ ΕΖ ἄρα συμπεσεῖται τῇ τομῇ.

φανερὸν δή, ὅτι καὶ καθ' ἓν μόνον σημεῖον· παράλληλος γάρ ἐστι τῇ ΒΗ διαμέτρῳ.

Εἰς τὸ ιβ'.

